Isaac in and petty-grievance against-the uncle and emperor
Ἰωάννου τοῦ Κομνηνοῦ ἀποδρὰς τῷ Μασοὺτ προσερρύη,
John the Komnenos having-run-off — to-Mas'ud went-over
ὑπὲρ τοῦ πατρὸς καὶ σουλτάνου πιθανὸν ἐτίθετο τὸν
for the father and sultan (a)-persuasive put-forward the
ἀπόλογον. βασιλεὺς δὲ ἀγχοῦ τῶν περιβόλων τοῦ Ἰκονίου
plea (the)-emperor and near the circuit-walls — of-Ikonion
γενόμενος καὶ τὰ τείχη τῷ στρατῷ διαζώσας, τόξα
having-come and the walls with-the army having-girded bows
τε τείνειν ἐπὶ τὰς ἐπάλξεις τῇ νεολαίᾳ ἐνδοὺς
both to-stretch against the battlements to-the young(-men) having-allowed
καὶ τοῖς νεκροδόχοις σήμασιν ἐνυβρίζειν μὴ συγχωρῶν,
and the corpse-receiving tombs to-outrage not permitting
οὕτως ἐκεῖθεν μόλις ἐξώρμησε καὶ παλίμπους ἐφέρετο.
thus thence barely set-out and back-footed was-carried

ἐν δὲ τῇ ἀπάρσει λόχους ὑποκαθισάντων τῶν πολεμίων
in and the departure ambushes having-set the enemies
καὶ τὰ ἀμφιλαφῆ χωρία προειληφότων μείζους τῶν
and the widespreading places having-seized-beforehand greater than-the
προτέρων ἀνερράγησαν πόλεμοι. ἐναγωνίως δὲ καὶ τούτων
former broke-out wars with-struggle and also these
διῳκημένων ἐς τὴν βασιλεύουσαν πόλιν ἀνέζευξεν.
having-been-managed to the reigning city he-returned
Ἠγάγετο δὲ γυναῖκα ὁ βασιλεὺς οὗτος ἐξ Ἀλαμανῶν,
married and (a)-wife the emperor this from Alamans'
γένους τῶν ἐπὶ δόξης καὶ θρόνων τῶν ἀρχικῶν. αὕτη
race of-the(-ones) in glory and thrones the ruling she
μέντοι οὐ τοσοῦτον τοῦ σωματικοῦ κάλλους ἐφρόντιζεν ὅσον
however not so-much of-the bodily beauty cared as
τοῦ ἔνδον καὶ περὶ ψυχὴν ἐπεμέλετο. οὐκοῦν ἐξομνυμένη
of-the inner and about soul took-care therefore abjuring
τὰ ἐκ τῶν κόνεων ἐπιτρίμματα καὶ τοὺς τῶν ὀφθαλμῶν
the from the powders rubbings and the of-the eyes
ὑπογραμμοὺς καὶ τὸν πλάστην τὸν κάτωθεν καὶ τὸ τεχνικὸν
underlinings and the molding the beneath and the artificial
ἀλλ' οὐ φυσικὸν ἔρευθος, καὶ ταῖς ἄφροσι τῶν γυναικῶν
but not natural redness and to-the foolish of-the women
αὐτὰ ἐπιρρίπτουσα, ταῖς ἀρεταῖς προσανεῖχε καὶ ὡραΐζετο.
them casting-off to-the virtues she-held-fast and was-adorned
εἶχε δὲ τὸ μὴ ἐπικλινὲς ἐθνικόν, καὶ τὸ τῆς γνώμης
she-had and the not pliable national(-trait) and the of-the mind
ἐκέκτητο δυσμετάθετον. ὅθεν οὐδ' ὁ βασιλεὺς προσεῖχεν
she-possessed inflexibility whence not-even the emperor attended
αὐτῇ τὰ πολλά, ἀλλὰ τιμῆς μὲν καὶ θρόνων πάνυ
to-her the most but of-honor indeed and of-thrones very
λαμπρῶν καὶ δορυφορίας καὶ τῆς λοιπῆς λαμπροφορίας
brilliant and of-bodyguard and of-the other splendor

βασιλικωτάτης μετεῖχε, τὰ δ' ἐς κοίτην ἠδίκητο.
most-royal she-partook the(-things) and for bed she-had-been-wronged
νέος γὰρ ὢν ὁ Μανουὴλ καὶ ἐρωτικὸς τῷ τε ἀνειμένῳ
young for being — Manuel and amorous to-the both loose
βίῳ καὶ ταῖς τρυφαῖς προσανέκειτο, καὶ συσσιτίων καὶ
life and to-the luxuries he-was-devoted and to-feasts and
κώμων ἐξείχετο, καὶ ὅσα τὸ νεοτήσιον ἄνθος ὑπέβαλλε
revels clung and what-things the youthful bloom suggested
καὶ ἐμύουν οἱ πάνδημοι ἔρωτες διεπράττετο.
and initiated(-into) the common loves he-did

III · JOHN OF POUTZE AND STYPPEIOTES

Manuel's chief of finance is John of Poutze, unbribable, implacable, and hard to approach, who diverts into the treasury the tax the islands paid for the fleet, to the ruin of the navy, and who later enriches his own family. John Hagiotheodorites, keeper of the emperor's decrees, is ousted by his deft fellow student Theodore Styppeiotes, who has him sent off as praetor of Hellas and the Peloponnese and rises to keeper of the inkstand. Manuel, generous at first from his father's full treasury, later rules more harshly and stints his largesse.

Ἐμέλησε δὲ καὶ τῶν κοινῶν τῷ βασιλεῖ τῷδε πράξεων,
cared and also for-the common for-the emperor this deeds
καὶ τῶν μὲν δημοσίων εἰσφορῶν φροντιστὴν καὶ λογιστὴν
and of-the indeed public levies (as)-overseer and accountant
μέγιστον τὸν ἐκ Πούτζης Ἰωάννην προβάλλεται καὶ αὐτός,
greatest the from Poutze John he-puts-forward and himself
ὥσπερ ὁ πατὴρ ἐκείνῳ καὶ βασιλεύς, πρότερον ὄντα καὶ
just-as the father for-him also (the)-emperor before being and
τοῦ δρόμου πρωτονοτάριον, μελεδωνὸν δὲ μεσεύοντα καὶ
of-the course protonotarios (as)-guardian and standing-between and

τῶν οἰκείων ὑποδρηστῆρα διαταγμάτων τὸν Ἁγιοθεοδωρίτην
of-the own (as)-servant ordinances — Hagiotheodorites
τίθησιν Ἰωάννην. καὶ ἦν ὁ μὲν τῷ προσώπῳ τοῦ
he-sets John and was he indeed before-the face of-the
βασιλέως ἀεὶ ὀπτανόμενος καὶ τὰ τούτου ἐντάλματα ὅσα
emperor always being-seen and the his commands just-as
καὶ ἐμφάσεις ἐκ κρείττονος μοίρας δεχόμενος, ὑπουργοῖς
also intimations from (a)-higher part receiving as-assistants
δὲ οὐκ ὀλίγοις τῶν γραφομένων καὶ λεγομένων
and not few of-the(-things) written and said
ἐκέχρητο λογίοις ἀνδράσιν, ὅσοις ἡ αὐλὴ ἐνέβριθεν ἡ
he-used learned men as-many-as the court was-heavy-with the
βασίλειος, πρὸ πάντων δὲ τῷ Στυππειώτῃ Θεοδώρῳ, περὶ
imperial before all and — with-Styppeiotes Theodore about
οὗ δηλώσομεν ἐν τοῖς ἐφεξῆς. ἦν δὲ ὁ ἐκ Πούτζης
whom we-shall-show in the following was and the from Poutze
Ἰωάννης δεινότατος τὰ δημόσια, φορολογίας παιπάλημα
John most-terrible in-the public of-taxation (a)-subtle-rogue
καὶ ἐπίτριμμα, καὶ τῶν μὲν ὄντων δασμοφορημάτων
and (a)-rubbed-one and of-the indeed existing tributes
συζητητὴς ἀκριβέστατος, τῶν δὲ οὐκ ὄντων εὑρετὴς
(a)-searcher most-exact of-the(-ones) and not existing (a)-discoverer
ἀπαράμιλλος. ἐξήσκητο δὲ καὶ τὸ ἦθος ὑπὲρ πάντας
unrivaled he-had-trained and also the character beyond all
ἀδυσώπητον καὶ ἀμείλικτον· εὐκοπώτερον γὰρ ἄν τις
unabashable and implacable more-easily for — anyone
ἀμειδῆ καὶ ἀγέλαστον πέτραν ἐμάλθαξεν ἢ ἐκεῖνον ἐν
(a)-smileless and laughless rock would-soften than him in
τοῖς ἀβουλήτοις ὑπέκλινεν. ὃ δὲ τούτου θαυμασιώτερον,
the unwished(-things) would-bend what and than-this more-wondrous
οὐ μόνον οὐκ ἦν δακρύοις ἄτεγκτος, σχήμασι δεητηρίοις
not only not he-was by-tears unmoistened by-gestures suppliant

ἀπροσκλινής, ἀργυρίου ἀτίνακτος ἑλεπόλεσι καὶ χρυσίου
unbending of-silver unshaken by-city-takers and of-gold
ἀγοήτευτος φαρμακεύμασιν, ἀλλ᾽ εἶχε καὶ τὸ δυσέντευκτον
unbewitched by-drugs but he-had also the hard-to-approach
ὡς ἀπάνθρωπον. τὸ δὲ τοῖς τότε θυμαλγὲς καὶ
as inhuman the and to-the(-men) then heart-grieving and
δυσύποιστον, οὐδ᾽ ἀπόλογος ἦν παρ᾽ αὐτῷ καθαρῶς ἐφ᾽
hard-to-bear nor answer was with him clearly on
οἷς ὁ προσιὼν προετίθετο, ἀλλὰ χαίρων τὰ πλεῖστα
what the(-one) approaching proposed but rejoicing the most
τῇ ἀφασίᾳ ἐνιαχοῦ καὶ ἀπροσήγορον παρήει τὸν
in-the speechlessness in-places also unaddressed he-passed-by the(-one)
παραβάλλοντα. τοσαύτην δ᾽ ἐκ βασιλέως ἰσχύν τε καὶ
coming-near so-much and from (the)-emperor strength both and
ἐξουσίαν περιεζώννυτο ὡς ἃ μὲν ἠβούλετο τῶν
authority he-girded-on that what-things indeed he-wished of-the
βασιλικῶν θεσπισμάτων ἀποπέμπεσθαι καὶ διαρρηγνύειν,
imperial decrees to-send-away and to-tear-up
ἔνια δὲ καὶ τοῖς δημοσίοις ἐγγράφειν κώδιξιν. ὑποθήκῃ
some and also in-the public to-register codices on-(the)-suggestion
δὲ τοῦ ἀνδρὸς τούτου χρῆμά τι κοινωφελὲς καὶ ταῖς
and of-the man this thing some of-common-benefit and to-the
νήσοις πάσαις σωτήριον καὶ τοῖς πρώην βασιλεῦσι
islands all saving and by-the former emperors
συντηρηθὲν ἀπαράβατον ὁ βασιλεὺς Ἰωάννης ἀξυμφόρως
kept inviolate the emperor John inexpediently
κατήργησε. τὰ γὰρ ἐκ τῶν πλευστικῶν ἐρανιζόμενα
abolished the(-money) for from the sea-going collected
στρατειῶν, διαδιδόμενα πάλαι τῷ ναυτικῷ, εἰς τὸ ταμεῖον
military-levies distributed of-old to-the fleet into the treasury
οὗτος παρειπάμενος μετωχέτευσε, καὶ τὰς ἀπὸ τῶν
this(-one) having-persuaded diverted and the from the

νήσων ἐκ τύπου παρεχομένας τριήρεις ἀντάνδρους μικροῦ
islands by assessment provided triremes manned by-little
κατεπόντισε παραφάμενος. ὑποθέμενος γὰρ ὡς τὸ μὲν τῶν
sank having-talked-over having-suggested for that the indeed of-the
τριηρέων χρῆμα οὐκ ἀεὶ τῇ πολιτείᾳ καὶ τῷ κοινῷ
triremes thing not always for-the state and the common(-good)
ἐπιτήδειον, τὰ δ' ὑπὲρ τούτων ἀναλώματα οὐκ εὐάγκαλα
suitable the and for these expenditures not easy-to-carry
καὶ ἐπέτεια, καὶ δεῖν αὐτὰ μὲν τὸ ταμιεῖον ἐγκολπίζεσθαι,
and yearly and needful them indeed the treasury to-take-into-its-bosom
χρείας δ' ἐνισταμένης ἐκ τῶν βασιλικῶν θησαυρισμάτων
need and arising from the imperial treasures
τὸν ὀψωνιασμὸν τῷ ναυτικῷ παρέχεσθαι, ἔδοξεν εἶναι
the pay to-the fleet to-provide he-seemed to-be
ἀνδρῶν ὁ βέλτιστος καὶ τὴν φύσιν τῶν πραγμάτων
of-men the best and the nature of-the affairs
ἠκριβωκὼς ὁ καταποντιστοῦ σκέμμα εἰσενεγκάμενος.
having-known-exactly the of-(a)-sinker scheme having-brought-in
τοῖς γὰρ ἁδροῖς τὸν βασιλέα ἐν τῷ ταῦτα εἰσηγήσασθαι
by-the for great the emperor in the these(-things) to-propose
παρακέκρουκε δαπανήμασι, καὶ αὖθις τῷ μετρίῳ τῆς
has-beguiled expenditures and again by-the moderation of-the
καταβολῆς διακέχυκε. καὶ νῦν ἐκ τῆς κακοβουλίας
payment has-relaxed(-him) and now from the bad-counsel
ταύτης εἴτ' οὖν σμικροπρεπείας θαλασσοκρατοῦσιν οἱ
this or then shabbiness rule-the-sea the
πειραταί, καὶ κακῶς πεπράγασι ταῖς λῃστρίσιν αἱ
pirates and badly have-fared from-the robber-ships the
παραθαλαττίδιοι Ῥωμαίων χῶραι, καὶ ὡς ἂν κατεύξαιντο
coastal of-(the)-Romans lands and as — would-pray
οἱ διάφοροι. εἰ δὲ καὶ τὸν στάχυν ἴσμεν τοῦ
the adversaries if and also the ear we-know of-the(-one)

σπείραντος, ἀλλὰ καὶ τὸν ἀμήσαντα προσεπαιτιώμεθα·
having-sown but also the(-one) having-reaped we-blame-besides
καὶ εἰ ὁ ἐμπρησμὸς τοῦ ἀνάψαντος, ἀλλὰ καὶ τοῦ
and if the burning of-the(-one) having-kindled but also of-the(-one)
κατασβέσαι δυναμένου, δρᾶσαι δέ τι τοιοῦτον ὅλως μὴ
to-quench able to-do and anything such at-all not
βουληθέντος. ἀλλ' ἕως τότε φιλοδημόσιος λογιστὴς καὶ
having-wished but as-long-as then (a)-public-spirited accountant and
δεινὸς καὶ φειδωλὸς οἰκονόμος καὶ ὀβολοστατῶν ἀτεχνῶς
terrible and thrifty steward and obol-weighing simply
δασμολόγος ὁ Ἰωάννης ἐδείκνυτο, ἕως ἀκαθαίρετον εἶχε
tax-collector — John showed(-himself) as-long-as unremovable he-had
τὴν δυναστείαν, καὶ τὸ ποιεῖν ὅσα καὶ πρὸς βουλῆς
the power and the to-do what-things also in counsel
ἀνεξέλεγκτον, καὶ ὅσα βουλητὰ τούτῳ καὶ δυνατά.
unchecked and what-things desirable to-this(-one) and possible
ἐπειδὴ δὲ μεθαρμοζόμενόν οἱ ἑώρα τὸ δύνασθαι καὶ
when and changing for-him he-saw the to-be-able and
τὸ εὐπαρρησίαστον παραιρούμενον καὶ ὑπορρέουσαν κατὰ
the free-speaking being-taken-away and slipping-away by
βραχὺ τὴν ἰσχύν, οἷα καὶ ἑτέρων κρατυνομένων παρὰ τῷ
little the strength since also others being-strengthened with the
βασιλεῖ κἀκ τοῦ ἄγαν ἐκκρουόντων καὶ περιτρεπόντων
emperor and-from the excess thrusting-out and overturning
αὐτόν, μετῆρεν ἅπερ ἦν θέμενος ὅρια, καὶ
him he-moved what-things he-had set (as)-boundaries and
δραπέτης τῷ καιρῷ καὶ τοῖς πράγμασι προσφυεὶς
(a)-runaway to-the time and to-the affairs having-grown-to
ἀμφοτέραις τούτων ἔχεταί τε καὶ περιέχεται. οὐκοῦν καὶ
with-both these he-holds both and is-held therefore also
πρός τινα τῶν συνήθων εἰπὼν „ἄγε πλουτήσωμεν"
to some(-one) of-the intimates having-said come let-us-be-rich

ἑτεροίας γνώμης παντάπασιν ἐγεγένητο, καὶ γυναῖκα τῶν
of-another mind altogether he-had-become and (a)-woman of-the
ἀπερριμμένων καὶ ἀπηνθηκυιῶν εὐγενῶν ἁρμοσάμενος,
cast-off and faded noble(-women) having-married
καὶ παίδων ἀκούσας πατήρ, διένειμε τούτοις πλοῦτον
and of-children having-been-called father he-distributed to-these wealth
βαθὺν καὶ ἀρκετὸν εἰς ἡδονάς. κίμβιξ δὲ ὢν εἰς ἄκρον
deep and sufficient for pleasures (a)-skinflint and being to (the)-extreme
καὶ γνίφων καὶ δυσγρίπιστος, οὐδ' ἄνω ἆραι τὰ βλέφαρα
and stingy and hard-to-squeeze nor up to-raise the eyelids
πειρώμενος, ἀναβλέψαι καὶ εἰς πτωχοὺς ἀτενίσαι, οὐ
trying to-look-up and to poor(-men) to-gaze not
παρῆκε τὸν πλοῦτον, ἀλλὰ πεδήτην εἶχε διὰ παντὸς
he-let-go the wealth but in-fetters he-had(-it) through all
δεσμοῖς ἀρρήκτοις ἀλύτοις τε, καὶ ἀπρόϊτον δήπου, ὅσα
with-bonds unbreakable indissoluble both and not-going-forth surely just-as
καὶ Δανάην ὁ πάλαι Ἀκρίσιος. καὶ σμικρολογίαν νοσῶν
also Danae the of-old Akrisios and pettiness being-sick-with
καὶ γλισχρότητα, καὶ τὰ πεμπόμενα πολλάκις τῶν
and niggardliness also the(-things) sent often of-the
ἐδωδίμων ἀνέπεμπεν εἰς τὸ πωλητήριον καὶ δεῖγμα,
eatables he-sent-back to the market and display(-market)
ὡς ἰχθύας σύακα καὶ λάβρακα, ὡς μὲν μεγίστους ὡς δὲ
as fish (a)-syax and (a)-sea-bass as indeed greatest as and
πίονας παρά τινων αὐτῷ πεμφθέντας, τρισσάκις ἀπέδοτο
fat by some to-him sent thrice he-sold
καὶ τοσαυτάκις ἐναλλὰξ ἐωνημένους κατὰ χρείαν παρ'
and so-many-times alternately bought by need from
ἑτέρων εἰσηνέγκατο. καὶ ἦσαν ἄντικρυς ἁλιεῖς οἱ ἰχθύες,
others he-brought-in and were outright fishermen the fish
ὃ πεπόνθασι δρῶντες, ὡς μὲν ἄγκιστρον χαλῶντες τὸ
which they-suffered doing as indeed (a)-hook letting-down the

μέγεθος, περιτιθέντες δὲ τὴν πιμελὴν ὡς δέλεαρ, καὶ οὕτω
size putting-on and the fat as bait and thus
κατασπῶντες τοὺς παριόντας εἰς τὴν ἐκείνων εἰσοίκησιν.
drawing-down the(-ones) passing-by into the their entry
Εὐρόει δὲ καὶ τῷ Ἁγιοθεοδωρίτῃ Ἰωάννῃ τὰ διαβούλια,
flowed-well and also — for-Hagiotheodorites John the counsels
πλὴν τούτῳ ἡ ταχύπους τῶν πραγμάτων φορὰ καὶ
except for-this(-one) the swift-footed of-the affairs course and
ἀγχίστροφος συμφοιτητὴν ἐνδέξιον τὸν Στυππειώτην
quick-turning (a)-fellow-student dexterous — Styppeiotes
ἐφιστᾷ Θεόδωρον, ὃς συντρέχων ἢ ἀντιτρέχων τῷ Ἰωάννῃ,
sets-over Theodore who running-with or running-against — John
καὶ τῷ μὲν λόγῳ τὰ πρῶτα τῇ δὲ τάξει φέρων
and in-the indeed reckoning the first(-places) in-the and rank carrying
τὰ δεύτερα, οὐκ ἠνείχετο οὐδ' ἠγάπα ταῖς παρούσαις
the second not endured nor was-content with-the present
ἀναβάσεσιν, ἀλλὰ τῆς κορυφαίας ἅπας γινόμενος καὶ περὶ
ascents but of-the topmost wholly becoming and about
τὴν ἀκρώρειαν λιχνευόμενος ὅλον πρὸς τὸ ἀνώτατον τὸν
the summit being-greedy whole to the highest the
δρόμον ἐπέτεινε. καὶ δὴ καιροῦ λαβόμενος καθ' ὃν οὐκ
course he-strained and indeed (the)-time having-seized in which not
ὀλίγα ξυνέπεσε τὰ διάφορα μεταξὺ ἀνδρὸς εὐγενοῦς, τοῦ
few happened the differences between (a)-man noble —
Παλαιολόγου φημὶ Μιχαήλ, καὶ τοῦ Βαλσαμὼν Ἰωσήφ,
Palaiologos I-mean Michael and — Balsamon Joseph
ὃς γαμβρὸς ἦν τοῦ Ἁγιοθεοδωρίτου ἐπ' ἀδελφῇ, ἐπέθετο
who brother-in-law was — of-Hagiotheodorites by (a)-sister he-attacked
κραταιότερον, καὶ συντείνας ἐξοστρακίζει τοῦτον τῶν
more-strongly and having-pressed ostracizes this(-one) from-the
ἀνακτόρων ὡς ἀπὸ σκοπιᾶς οὐρανίου, καὶ ὡς εἰς χῶρον
palace as from (a)-lookout heavenly and as into (a)-place

ἐκσφενδονᾷ μυχαίτατον τὴν πραιτωρίαν ἀρχὴν τῆς Ἑλλάδος
he-slings most-remote the praetorian office — of-Hellas
καὶ τῆς τοῦ Πέλοπος, εὖ τὰ ἐκεῖ διαθήσοντα καὶ
and of-the — of-Pelops well the(-affairs) there going-to-arrange and
τὰς τῶν εἰρημένων ἀνδρῶν διαλυσόμενον ἔριδας. οὐκοῦν
the of-the mentioned men going-to-dissolve strifes therefore
ὁ μὲν Ἰωάννης ἐσκευαγώγει τὰ πρὸς τὴν ἔξοδον· ἡ
— indeed John packed-up the(-things) for the departure the
δὲ τύχη μηδὲ καθαρῶς τὴν τούτου μετάβασιν ἀναμείνασα
and fortune nor clearly the his removal having-awaited
πρὸς τὸν Στυππειώτην μετεσκευάσατο, καὶ προσπλακεῖσα,
to — Styppeiotes changed-over and having-embraced(-him)
πῶς ἂν εἴποι τις, ἀσμένως καὶ χαριέστατα ταῖς καθ'
how — would-say anyone gladly and most-gracefully with-the by
ὥραν πάσαις ἐκλέϊζεν ἀναβάσεσι, καὶ τὴν ἐκ δόξης
hour all made-famous(-him) ascents and the from glory
εἰς δόξαν παρεῖχεν ὕψωσιν. καὶ τέλος τὸν μὲν εἰς
to glory granted exaltation and (at-the)-end the(-one) indeed to
τὴν τοῦ ἐπὶ τοῦ κανικλείου μεγαλοπρεπῆ προβιβάζει τιμὴν
the of-the over the inkstand magnificent advances honor
καὶ τὴν παρὰ τῷ βασιλεῖ μεγίστην οἰκείωσιν, καὶ μείζοσιν
and the with the emperor greatest intimacy and with-greater
ἑτέραις κατακυδροῖ προκοπαῖς, τὸν δ' ἀγνωμονοῦσα
other glorifies promotions the(-other) and being-ungrateful
καὶ βλωμοῦ ἄρτου τίθησιν ἐνδεᾶ. καὶ οὐκέτι τὰ
and of-(a)-morsel of-bread makes in-want and no-longer the(-things)
δεδογμένα μετήμειψεν ἢ ὅλως ἐσέπειτα μετηλλοίωσεν, ἀλλ'
decided changed or at-all afterward altered but
ἔμεινεν ἡ ἀκροσφαλὴς ἐπὶ ταὐτοῦ τὸ καινότατον. τὸ δ'
remained the tottering on the-same the newest(-thing) the and
ἀπὸ τοῦδε ἦγε τὰ πράγματα ὁ ἀνὴρ ὅδε ὡς ἠβούλετο,
from this led the affairs the man this as he-wished

βαθυγνώμων ὢν καὶ πεπνυμένος καὶ τὸ ἦθος ἐπίχαρις
deep-minded being and prudent and in-the character charming
καὶ πτηνὸς τὴν φρόνησιν. ἠρεῖτο δὲ ὅσα ἐπέταττε
and winged in-the prudence chose and what-things ordered
βασιλεύς· ἐπέταττε δ᾽ οὗτος ὅσα ἐκεῖνος ἐβούλετο.
(the)-emperor ordered and this(-one) what-things he wished
ἦν δὲ ἐν τῷ τότε καὶ βασιλεὺς λημμάτων αἰσχρῶν
was and in the then(-time) also (the)-emperor of-gains shameful
ἐλεύθερος, θάλασσα φιλοδωρίας, ἐλέους ἄβυσσος, τῷ
free (a)-sea of-generosity of-mercy (an)-abyss through-the
προσηνεῖ τοῦ ἤθους εὐέντευκτος καὶ τὴν βασίλειον ἀρετὴν
gentleness of-the character easy-to-approach and in-the imperial virtue
ἀπαράμιλλος, ψυχὴν εἰσέτι ἄτεχνον ἔχων καὶ γνώμην
unrivaled (a)-soul still artless having and (a)-mind
ἀπερίεργον. ὡς γὰρ ἀπήγγελλον ἡμῖν οἱ τὴν ἡλικίαν
unmeddlesome as for reported to-us the(-ones) in-the age
προήκοντες, ἐπὶ τὰς πλαγίῳ λόγῳ ᾀδομένας χρυσᾶς
advanced to the in-oblique speech sung golden
ἔννας οἱ τότε ἦσαν παλινδρομήσαντες ἄνθρωποι, καὶ
nine-day(-feasts) the then were running-back men and
σμήνει ἐῴκεσαν μελισσῶν ἐκ πέτρας γλαφυρῆς βομβηδὸν
to-(a)-swarm were-like of-bees from (a)-rock hollow with-buzzing
ἱπταμένων, ἢ οὐδὲν τῶν ἐπ᾽ ἀγορᾶς εἱλουμένων
flying or nothing from-the(-ones) at (the)-market thronging
διενηνόχασιν, ὅσοι τοὺς βασιλικοὺς χρυσῶνας εἰσῄεσαν
differed as-many-as the imperial gold-treasuries entered
ὁποιουδή τινος φιλοτιμήματος ἀπολαύσοντες, ὡς τοὺς
of-whatever some largesse going-to-enjoy so-that the(-ones)
περὶ ταῖς πύλαις συνθλίβεσθαι καὶ πράγματα παρέχειν καὶ
at the gates to-be-crushed and troubles to-give and
λαμβάνειν ἀμοιβαδόν, τοὺς μὲν ἐπειγομένους εἰσιέναι,
to-receive in-turn the(-ones) indeed hastening to-enter

τοὺς δὲ τὴν ἔξοδον ἐπισπέρχοντας. ἡμεῖς δὲ κλέος οἷον
the(-ones) and the exit urging we and (a)-report such
ἀκούομεν. ἦν δὲ καὶ ἄλλως τὰ κοινὰ ταμιεῖα τὸ κατ᾽
we-hear were and also otherwise the common treasuries the at
ἐκεῖνο καιροῦ ἐκ τούτου εἰς τοῦτο ἐξερευγόμενα, καὶ κατὰ
that of-time from this into this belching-out and like
τὰς συναγωγὰς τῶν ὑδάτων πλημμύροντα καὶ παραπτύειν
the gatherings of-the waters overflowing and to-spit-out
τι τῶν ἔνδον πρὸς τοὺς ἐκτὸς καὶ πενομένους
some of-the(-things) inside to the(-ones) outside and poor
ἐθέλοντα, ὅσα καὶ γαστὴρ ἐγγίζουσα τῷ τεκεῖν καὶ
wishing just-as also (a)-belly approaching the to-give-birth and
βαρουμένη τῷ ὑπερτελείῳ τοῦ ἀχθοφορήματος· ἡ γὰρ
weighed-down by-the overdue of-the burden the for
μερίδα τῷ θεῷ καὶ τῷ δικαίῳ διδοῦσα φορολογία
(a)-share — to-God and to-the just giving taxation
τοῦ βασιλέως καὶ πατρὸς τῷ βασιλεῖ Μανουήλ, καὶ
of-the emperor and father for-the emperor Manuel and
τὸ μὴ τῶν δαπανημάτων ἄσωτον καὶ ἀκόλαστον, εἰς
the not of-the expenditures prodigal and unbridled into
σωρείας τὰ χρήματα ἐπεστοίβασε καὶ ὡς κάχληκας αὐτὰ
heaps the money piled-up and as pebbles them
συναγήοχεν. ἦν δ᾽, ὡς ἔοικε, καὶ τὸ θεῖον ἐπευλογοῦν καὶ
gathered it-was and as it-seems also the divine blessing and
πληθῦνον αὐτὰ κατὰ τὸ τοῦ ἐπαγγέλματος ἀδιάπτωτον,
multiplying them according-to the of-the promise infallibility
ὃ καὶ λῆψιν οὐρανίου εἰσηγεῖται μισθοῦ καὶ τὴν
which also (a)-receiving of-heavenly brings-in reward and the
εἰς τὸ πολλαπλάσιον ἀνταπόδοσιν. ἀλλ᾽ οὐ μόνιμα τῷ
into the manifold repayment but not lasting for-the
βασιλεῖ Μανουὴλ τὰ τῆς ἀρίστης ταύτης προθέσεως,
emperor Manuel the(-things) of-the best this purpose

ἀλλὰ βραχύχρονα καὶ ἐπίκηρα· ἐς γὰρ ἄνδρας ἐλάσας
but short-lived and perishable to for men having-driven
ἀρχικώτερόν τε ἥψατο τῶν πραγμάτων, τοῖς ὑπὸ
more-imperiously both he-handled the affairs to-the(-ones) under
χεῖρα οὐχ ὡς ἐλευθέροις ἀλλ' ὡς κληρωτοῖς θεράπουσι
hand not as free(-men) but as allotted servants
προσφερόμενος, καὶ τὴν τῆς φιλοδωρίας συνέστειλεν
behaving and the of-the generosity he-contracted
ἔκροιαν, ἵνα μὴ λέγοιμι ὡς εἰς τὸ παλίρρουν αὐτὴν ἐβιάσατο
outflow that not I-may-say that into the back-flowing it he-forced
καὶ τὸν ἀναδασμὸν ἔστιν ὅτε καὶ ἐφ' οἷς ἐδικαίωσεν, οὐκ
and the redistribution there-is when also on what he-had-awarded not
ἐκ τοῦ γνωμικοῦ δ' οἶμαι τοσοῦτον αἰτίου (χρὴ γὰρ
from the opinionated and I-think so-much cause it-is-needful for
ἐν τοῖς ἀδήλοις ῥέπειν πρὸς τὸ φιλάνθρωπον) ὅσον
in the uncertain(-things) to-incline to the humane as-much-as
ἐκ τοῦ μὴ κοτύλης δεῖσθαι ψηγμάτων ἀλλ' ἄντικρυς
from the not of-(a)-cup to-need of-gold-dust but outright
πελάγους Τυρσηνικοῦ ἃς εἶχε διευρύνας ἐξόδους τῶν
of-(a)-sea Tyrrhenian which he-had having-widened outlets of-the
δαπανῶν, ὡς προϊὸν δηλώσει τὸ λέγειν μοι.
expenditures as going-forward will-show the to-tell to-me

IV · THE SECOND CRUSADE APPROACHES

The Germans and kindred peoples, women riding armed among them, set out for Palestine. Their envoys ask passage and markets; Manuel promises both if they swear to cross Roman land peacefully, but, distrusting them, he gathers his forces, strengthens the City's walls, and sends his army to shadow the Germans and check their foragers. At Philippopolis the archbishop Michael Italikos charms the king into friendship.

Ἀλλ᾽ οὕτω διακυβερνωμένῳ τὴν βασιλείαν τῷ αὐτοκράτορι
but thus steering the empire the autocrat
νέφος πολεμίων ἐκ τῶν ἑσπερίων ἐπισυστὰν κλιμάτων,
(a)-cloud of-enemies from the western having-gathered regions
τετριγὸς δεινὸν καὶ ὀλέθριον, ἐς τὰ Ῥωμαίων ἐνέσκηψεν
shrieking terrible and destructive into the of-(the)-Romans burst
ὅρια, ἡ τῶν Ἀλαμανῶν φημὶ κίνησις καὶ ἡ τούτοις
borders the of-the Alamans I-mean movement and the with-them
συνεξάρασα μοῖρα ὁμογενῶν ἐκείνοις ἑτέρων ἐθνῶν·
having-risen-together part kindred to-them of-other peoples
οἷς καὶ θήλειαι κατελέγοντο ὡς ἄρρενες ἐφιππάζουσαι
among-whom also females were-enrolled as males riding
καὶ ταῖς ἐφεστρίσιν οὐ συμβάδην τὼ πόδε διαχαλῶσαι
and on-the saddles not side-by-side the two-feet letting-hang
ἀλλὰ περιβάδην ἀνέδην ἐποχούμεναι, καὶ κοντοφόροι καὶ
but astride freely mounted and lance-bearing and
ὁπλοφόροι κατ᾽ ἄνδρας ὁρώμεναι, καὶ ἀνδρείαν στολὴν
arms-bearing like men appearing and manly dress
περικείμεναι, αἳ καὶ ὅλως ἀρεϊκὸν ἔβλεπον καὶ ὑπὲρ τὰς
wearing who also wholly martial looked and beyond the
Ἀμαζόνας ἠρρένωντο. μία δὲ καὶ ὑπεξήρετο παρ᾽ ἐκείναις
Amazons were-made-manly one and also excelled among them
καθάπερ ἄλλη τις Πενθεσίλεια, ἥτις ἐκ τοῦ στίζοντος
as another some Penthesileia who from the embroidering
χρυσοῦ καὶ περιτρέχοντος τὰς ὥας καὶ τὰ λώματα τοῦ
gold and running-round the borders and the hems of-the
ἐσθήματος Χρυσόπους παρωνομάζετο. αὐτὸ δὲ τὸ τῆς
garment Goldfoot was-nicknamed it and the of-the
κινήσεως αἴτιον πρόφασιν τὸ κυριακὸν παρεῖχε κενήριον
movement cause (a)-pretext the Lord's provided tomb
καὶ ἡ πρὸς τὰ εὐθέα τῶν σκολιῶν καὶ ἐπιβούλων
and the toward the straight(-ways) from-the crooked and treacherous

παρόδων ἑτοιμασία τοῖς ἐκ τοῦ γένους ἐκείνοις εὐθὺ
passages preparation for-the(-ones) of the race those straight
τῶν Ἱεροσολύμων ἐθέλουσιν ἴεσθαι. ἔφασκον δὲ καὶ κατὰ
— for-Jerusalem wishing to-go they-said and also on
τὴν ἔξοδον ἐκείνην μηδέν τι περιττὸν ἐπισύρεσθαι, ἀλλ'
the departure that nothing at-all superfluous to-drag-along but
ἢ τὰ πρὸς ἐξομάλισιν τῶν τρίβων ἀναγκαιότατα
except the(-things) for smoothing of-the roads most-necessary
καὶ μόνα ἐπάγεσθαι. διὰ τούτων δὲ παρυπέφαινον οὐ
and only to-bring-along through these and they-hinted not
πτύα καὶ τύκια καὶ σκαπάνας, θυρεοὺς δὲ καὶ θώρακας
shovels and picks and mattocks shields and also breastplates
καὶ φάσγανα, καὶ εἴ τι ἄλλο πρὸς πόλεμον ἐπιτήδειον.
and swords and if anything other for war suitable
καὶ τοῦτο μὲν τὸ παρορμῆσαν ἐκεῖνοι προυβάλλοντο
and this indeed the(-thing) having-urged they put-forward
καὶ διώμνυντο, καὶ ἦν, ὡς ἐκ τῶν ὕστερον ἔδειξαν,
and swore and was as from the(-things) later they-showed
οὐκ ἐψευσμένα τὰ ὑπ' ἐκείνων λεγόμενα. πέμψαντες
not false the(-things) by them said having-sent
δὲ πρεσβευτάς, ὡς διὰ φιλίας, ᾐτοῦντο τὸν βασιλέα τὸν
and envoys as through friendship they-asked the emperor the
τῶν Ῥωμαίων παρελθεῖν, καὶ ἀγορὰς αὐτοῖς παροδίους
of-the Romans to-pass and markets for-them along-the-road
προτίθεσθαι, ἐξ ὧν ὠνήσονται καὶ ὅσοις ἄνθρωποι
to-set-out from which they-will-buy and (with)-what men
τρέφονται καὶ ὅσα ἵπποις ξυμβέβληνται. ὁ δὲ βασιλεύς,
are-fed and what for-horses are-provided the and emperor
ὡς εἰκός, ἐκ τοῦ παραχρῆμα διαταραχθεὶς τὴν ψυχὴν τῷ
as likely from the instant troubled in-the soul by-the
ἀέλπτῳ τοῦ πράγματος καὶ μηδέπω εἰς τὸ κατ' ἐκεῖνο
unexpectedness of-the matter and not-yet to the at that

καιροῦ γενομένῳ, οὐκ ἀνῆκεν ὅμως τῶν συνοισόντων
of-time having-happened not he-let-up nevertheless of-the(-things) going-to-be-useful
ἐπιμελόμενος. τοῖς τε γὰρ πρέσβεσι διειλέχθη μετὰ
taking-care with-the both for envoys he-conversed with
προσηνείας τὰ πρόσφορα, καὶ ἐπαινεῖν ὑπερβαλλόντως
gentleness the(-things) fitting and to-praise exceedingly
τὰ δρώμενα ὑπεκρίνετο, καὶ ἄγασθαι αὐτοὺς τῆς
the(-things) being-done he-pretended and to-admire them for-the
εὐσεβοῦς προσεποιεῖτο προθέσεως, κἀκ τοῦ αὐτίκα δὴ
pious he-feigned purpose and-from the at-once indeed
μάλα ἑτοιμάσασθαι τὰ πρὸς διέλευσιν ἐπηγγέλλετο,
very to-prepare the(-things) for passage he-promised
ἄφθονά τε εὐτρεπίσειν καὶ ἕτοιμα οὕτως λαβεῖν τὰ ὤνια
abundant both to-make-ready and ready thus to-take the wares
ἰσχυρίζετο ὡς εἴπερ οὐ δι᾽ ἀλλοτρίας ἀλλὰ διὰ τῆς
he-insisted as if-indeed not through foreign but through the
σφῶν παρώδευον χώρας, ἂν δώσουσι μόνον ὅρκια
their-own they-were-marching land if they-will-give only oaths
πιστὰ ὡς θεοφιλὴς αὐτοῖς ἡ δίοδος ἀληθῶς καὶ ὡς
trustworthy that God-loving to-them the passage truly and that
ἀμαχητὶ τὰ Ῥωμαίων ὅρια ὑπερβήσονται. ταῦτ᾽ οὖν
without-battle the of-(the)-Romans borders they-will-cross these(-things) then
ὡς εἰκὸς καταστησάμενος, ἀπανταχῇ διεκπέμπει βασίλεια
as likely having-arranged everywhere sends-out imperial
διατάγματα προεκχεῖσθαι τὰ ζωαρκῆ τῶν ὁδῶν καθ᾽
ordinances to-be-poured-out-beforehand the life-supplies of-the roads by
ἃς οἱ ἐξ ἑσπέρας στρατοὶ διελεύσονται· καὶ τῷ λόγῳ
which the from (the)-west armies will-pass and to-the word
τὸ ἔργον ἐπηκολούθει. ὑποβλεπόμενος δὲ καὶ ὑπονοῶν
the deed followed regarding-with-suspicion and and suspecting
μή πως ἐν δέρματι προβάτων λυκιδεῖς ἔρχονται ἢ
lest somehow in skin of-sheep wolf-cubs come or

ὄνῳ ὑποκρύπτονται λέοντες ἀπ᾽ ἐναντίας τῷ μυθικῷ
in-(an)-ass lie-hidden lions from opposite to-the mythical
διηγήματι, ἢ τὴν λεοντῆν ξυνέχωσι τῇ ἀλωπεκῇ, τὰς
tale or the lion's-skin they-join to-the fox's the
Ῥωμαϊκὰς ἀθροίζει δυνάμεις, συνδιασκέπτεται κοινῇ περὶ
Roman he-gathers forces he-takes-counsel in-common about
τῶν κοινῶν, τὸ πλῆθος τῶν παρελευσομένων στρατῶν
the common(-affairs) the number of-the going-to-pass armies
διέξεισι, τῆς ἵππου τὸ πολὺ καταλέγει, τὸ ὁπλιτικὸν
he-recounts of-the horse the multitude he-enumerates the hoplite(-force)
ὅσον διασαφεῖ, τῆς πεζεταίρας μοίρας παρίστησι τὸ
how-great he-makes-clear of-the foot part he-presents the
μυρίανδρον, τὸ πάγχαλκον περιλαλεῖ καὶ τὸ φόνιον, τὸ
ten-thousand-man the all-bronze he-talks-about and the murderous the
πῦρ τῶν ὀμμάτων ἅπαντας βλέπειν, καὶ τοῖς αἵμασιν
fire of-the eyes all to-look and in-the bloods
ἐπαγάλλεσθαι ὡς οὐδὲ ῥαντισμοῖς ὑδάτων ἕτεροι. οὐ
to-exult as not-even in-sprinklings of-waters others not
ταῦτα δὲ μόνον τῇ γερουσίᾳ καταγγέλλει καὶ τοῖς
these(-things) and only to-the senate he-announces and to-the
τέλεσι καὶ στρατεύμασιν, ἀλλ᾽ ὅσα καὶ ὁ ἐκ Σικελίας
companies and armies but what-things also the from Sicily
τύραννος, ὥσπερ θὴρ ἐνάλιος, κατὰ τῶν παραθαλαττίων
tyrant like (a)-beast of-the-sea against the coastal
χωρῶν διαπράττεται, τὴν ἅλμην τύπτων τοῖς ἐρετμοῖς,
lands does the brine striking with-the oars
καὶ ταῖς Ῥωμαϊκαῖς ἐνορμιζόμενος κωμοπόλεσι, καὶ κείρων
and at-the Roman anchoring townships and ravaging
τὰ ἐν ποσὶ κατὰ πολλὴν τοῦ ἐπαμύνοντος ἐρημίαν.
the(-things) at feet with much of-the helper lack
καὶ δὴ τὰς μὲν πυργοβάρεις ἐπισκευάζει τῆς πόλεως
and indeed the indeed towered-houses he-repairs of-the city

καὶ τίθησιν εὐερκέα τὴν ὅλην τοῦ περιβόλου περίμετρον,
and makes well-fenced the whole of-the circuit-wall circumference
τῇ δὲ στρατιᾷ χιτῶνας φολιδωτοὺς χορηγεῖ, κοντοῖς
to-the and army tunics scaled he-supplies with-lances
τε καθοπλίζει χαλκήρεσι, καὶ ἵπποις δρομικοῖς διεγείρει
both he-arms bronze-fitted and with-horses racing he-rouses
τὸ φρόνημα, καὶ χρημάτων ἐπιρρώννυσι διαδόσεσιν,
the spirit and with-money strengthens with-distributions
ἃ νεῦρα τῶν πραγμάτων ἀρίστως τῶν πάλαι τις
which (are)-sinews of-the affairs best of-the ancients someone
κατωνόμασε. καὶ οὕτω σὺν θεῷ συλλήπτορι καὶ τῇ
named and thus with God (as)-helper and the
πολιούχῳ μητροπαρθένῳ ὡς ἐνῆν δυσμαχώτατα θέμενος
city-guarding Mother-Virgin as was-possible most-unassailable having-made
τὰ στρατεύματα, τὰ μὲν εἰς ἔρυμα συνέχει τῆς
the armies the(-ones) indeed in fortification he-keeps of-the
καλλιπόλεως καὶ τοῖς τείχεσιν ἐφιστᾷ, τοῖς δ' ἐπισκήπτει
beautiful-city and on-the walls sets the(-ones) and he-orders
τῇ στρατιᾷ παρέπεσθαι τῶν Ἀλαμανῶν, μὴ ἀφισταμένοις
the army to-follow the Alamans not standing-off
ἐπὶ πολύ, κἀκ τοῦδε εἴργειν τοὺς ἐκ τῶν Ἀλαμανῶν ἐς
for much and-from this to-restrain the(-ones) from the Alamans for
ἁρπαγὰς παρεξιόντας καὶ προνομάς, εἰρηνικῶς μέντοι καὶ
plundering going-out and foraging peacefully however and
μὴ πολεμικῶς. κατὰ μὲν οὖν τὴν ἀπωτέρω πορείαν οὐδέν
not warlike on indeed then the farther march nothing
τι ξυνηνέχθη ἀξιαφήγητον ἀμφοῖν τοῖς στρατεύμασιν·
at-all happened worth-relating to-both the armies
ὡς δ' εἰς Φιλιππούπολιν οἱ Ἀλαμανοὶ παρενέβαλον,
as and at Philippopolis the Alamans encamped
οὐδὲ κατὰ τὸν ἐκεῖσε σταθμὸν ἐς διαφορὰν ἀπεῖδον τὰ
not-even at the there halt to quarrel looked the

τάγματα. ὁ γὰρ τῆς χώρας ἀρχιερεὺς (ἦν δ' οὗτος
units the for of-the land archbishop was and this(-one)
ὁ Ἰταλικὸς Μιχαήλ, ὁ καὶ λόγῳ πολὺς καὶ σοφίας
— Italikos Michael the(-one) both in-speech much and of-wisdom
ὁποίας εἴποι τις μέλημα, κἀν ταῖς ὁμιλίαις τὸ ἦθος
what-kind would-say anyone (a)-care and-in the conversations the character
ἐπαγωγότατος καὶ λίθος ἄντικρυς Μάγνησσα) οὕτως
most-attractive and (a)-stone outright Magnesian thus
ὑπηγάγετο τὸν ῥῆγα ταῖς τῶν λόγων ἐκθηλύνας ἴυγξι,
won-over the king with-the of-the words having-softened charms
καὶ τῷ μέλιτι τῆς γλώττης κατεγοήτευσεν, ἀντιστρόφως
and with-the honey of-the tongue bewitched inversely
μὲν οἷς ἐφθέγγετο, τοῖς δὲ Ῥωμαίοις ἐπωφελῶς
indeed to-what-things he-uttered for-the and Romans profitably
τὴν γνώμην μεταμείβων καὶ κατὰ τὸν Φάριον Πρωτέα
the mind changing and like — Pharian Proteus
δραστηρίως μεταβαλλόμενος, ὡς ἐκ τῶν ὤτων ἀναρτῆσαι
actively being-transformed so-that by the ears to-hang
κατὰ τοὺς ἀμφορέων διακένους τὸν ὑψηλόφρονα ῥῆγα, καὶ
like the of-amphoras empty(-ones) the high-minded king and
σύσσιτον παραλαμβάνειν καὶ μεταδιδόναι προπόσεων·
as-table-companion to-take-along and to-share toasts
ὃς καὶ μετήει ὠμοτάτως, αὐτῷ χαριζόμενος, τοὺς ἄνευ
who also went-after most-cruelly him gratifying the(-ones) without
καταθέσεως ἀργυρίου τὰ σῖτα ὁθενοῦν παρεισάγοντας.
payment of-silver the grains from-wherever bringing-in

The Germans march through Thrace and lose many men when a flood sweeps their camp at Choirobakchoi. Conrad reaches the City and is ferried across the Bosporus. Niketas admits that the Romans cheated the crusaders, mixing lime into the barley meal, and that Manuel struck debased silver coin to pay them.

Ἐν δὲ τῷ μεθίστασθαι ἐκεῖθεν καὶ προβῆναι τὸν ῥῆγα
in and the to-move thence and to-go-forward the king
τοῖς ἔμπροσθεν, ἐκ τῶν κατ᾽ οὐρὰν Ἀλαμανῶν
to-the(-places) before from the in rear Alamans
καὶ Ῥωμαίων δίκη μὲν τὰ πρῶτα παρρησιάζεται ὡς
and (the)-Romans (a)-lawsuit indeed the first speaks-freely as
δῆθεν κακῶς πασχόντων τινῶν· εἶτα ἐξωθεῖ ταύτην
supposedly badly suffering some then thrusts-out this
ἡ φιλοτάραχος τῶν πολλῶν ἔνστασις, καὶ τραχύνεται
the trouble-loving of-the many insistence and grows-rough
ταῖς βοαῖς. ταύταις ἐφομαρτεῖ τὸ παρρησιαστικὸν καὶ
with-the shouts these follows the free-spoken and
φιλόνεικον. ὁπλίζει τοῦτο τὰς χεῖρας εἰς πόλεμον. ἡ
contentious(-spirit) arms this(-one) the hands for war —
Ἐνυὼ ἐφέπεται, καὶ τῆς Φυλόπιδος ξυλλαβομένης ἡ
Enyo follows and — Phylopis having-taken-part the
μάχη λαμπρῶς ἐκορθύετο. φιλαυξὴς δὲ οὖσα αὕτη καὶ
battle openly raised-its-crest growth-loving and being it and
ἀεὶ τῶν ἄνω ἐφιεμένη μικροῦ δεῖν ἐστήριξεν ἂν
always of-the(-things) above longing by-little to-lack would-have-fixed —
τὸ κάρη ἐς οὐρανόν, χαμαιβάμων οὖσα τὰ πρῶτα καὶ
the head into heaven ground-walking being at first and
χθόνιος, εἰ μὴ ὁ ῥηθεὶς προφθάσας ἀρχιερεὺς τὸν ῥῆγα
earthly if not the mentioned having-anticipated archbishop the king

γινόμενον ἤδη παλίνστροφον καὶ πόλεμον πνέοντα τοῖς
becoming already turned-back and war breathing with-the
οἰκείοις θελκτηρίοις ἐμάλθαξε καὶ ἠρεμεῖν ἀνέπεισε παρὰ
own charms softened and to-be-quiet persuaded contrary-to
δόξαν, ὅσα καὶ θῆρα βασιλικόν, ᾧ οὐχ ἔωλον τὸ
expectation just-as also (a)-beast royal for-which not stale the
ἑστίαμα, τῇ ἀλκαίᾳ ὑπονυσσόμενον καὶ πρὸς ἅλματα
feast by-the might being-pricked and to leaps
διερεθιζόμενον. ἐπεὶ δὲ καὶ κατὰ τὸ εὐερκὲς Ἀδριανοῦ
being-provoked when and also at the well-fenced of-Hadrian
πόλισμα τὰ στρατεύματα ξυνελέγησαν, ὁ μὲν ῥὴξ διὰ
small-town the armies were-gathered the indeed king through
τῆς πόλεως ἐλάσας τῆς προκειμένης εἶχετο, νοσηλείᾳ
the city having-driven the(-road) lying-before held by-sickness
δέ τις σώματος τῶν ἐξ αἵματος ἐκείνῳ περιπεσὼν
and someone of-body of-the(-ones) from blood to-him having-fallen
κατὰ τὴν Ἀδριανοῦ ἐνηυλίζετο. Ῥωμαίων δέ τινες
at the of-Hadrian bivouacked of-(the)-Romans and some
ἀνάρσιοι, καὶ τὰς χεῖρας οὐκ εἰς ὁπλισμὸν λημματισμὸν
lawless and the hands not for arms for-gain
δὲ μᾶλλον δεδιδαγμένοι, νυκτὸς ἐπιθέμενοι τῇ καταγωγῇ
and rather taught by-night having-attacked the lodging
πῦρ τε ὑφάπτουσι καὶ τὸν ἄνδρα τοῖς ἐνοῦσι
fire both kindle and the man with-the(-things) within
συγκαταφλέγουσι. τοῦτο μαθὼν ὁ Κορράδος (οὕτω γὰρ
burn-together this having-learned — Conrad thus for
ὁ ῥὴξ ὠνομάζετο) ἐπιτρέπει τὰ τῆς ἀμύνης τῷ
the king was-named entrusts the(-things) of-the revenge to-the
ἀδελφιδῷ Φρεδερίχῳ. ὁ δὲ καὶ ἄλλως ὢν φρονηματίας,
nephew Frederick he and also otherwise being haughty
τότε δὲ καὶ τῷ πάθει νενικημένος, ἐπαναστραφεὶς τό
then and also by-the passion conquered having-turned-back the

τε ἱερὸν σεμνεῖον τίθησι πυρὸς παρανάλωμα, ἐν ᾧ
both holy monastery makes of-fire (a)-consumption in which
κατέλυεν ὁ Ἀλαμανός, καὶ τοὺς συλλαβομένους τοῦ
lodged the Alaman and the(-ones) having-taken-part the
ἔργου ὑπεδίκαζε θανάτῳ, ἐξέτασιν περὶ τῶν ἀπολωλότων
deed condemned to-death inquiry about the lost
χρημάτων ποιούμενος. καὶ τοῦτο μάχης παραίτιον γίνεται.
money making and this of-battle (a)-partial-cause becomes
ἀλλ' ἐπεγέλασε καὶ πάλιν κουροτρόφος εἰρήνη τις, καὶ
but smiled-upon also again nurse-of-youths peace some and
ἄλλων μὲν ἐκ τῶν ἐν τέλει Ῥωμαίων κατασβεσάντων
others indeed from of-the in office Romans having-quenched
τὸν πόλεμον, μάλιστα δὲ τοῦ Προυσοὺχ ἐξηνυκότος
the war most and — Prosouch having-accomplished
τὸ πᾶν. οὗτος γὰρ τοῖς ποταμοῖς τὸν ἵππον ἀφεὶς
the whole this(-one) for to-the rivers the horse having-let-go
ᾧ ἔποχος ἦν, οἳ σύντρεις διὰ τῆς ἐκεῖσε λιθίνης
on-which mounted he-was which three-together through the there stone
γεφύρας διαυλωνίζονται, ὡς τὸν Φρεδερίχον παραγενόμενος
bridge flow-through-channels to — Frederick having-arrived
ὀργίλως τε τοῦτον ἔχοντα κατεπράϋνε καὶ τῆς
angrily both this(-one) being(-disposed) calmed and from-the
γνώμης μετακινεῖ. πάλιν οὖν σταθμοί τε ἦσαν εἰρηναῖοι
mind moves again then halts both were peaceful
καὶ παρασάγγαι φιλήσυχοι, καὶ ἡ ἐς τὰ πρόσω δίοδος
and parasangs quiet and the to the forward passage
εὐδιάβατος. εἶχε τοίνυν μεθ' ἡμέρας αὐτοὺς ἡ τῶν
easy-to-cross held therefore after days them the —
Χοιροβάκχων πᾶσα ἱππήλατος πηγνύντας στρατόπεδον,
of-Choirobakchoi all horse-riding(-plain) pitching camp
οὐ μὴν καὶ βάλλοντας χάρακα· τοῦτο γὰρ δι' ὅλων ἦν
not indeed also throwing (a)-palisade this for through whole was

αὐτοῖς τῶν σταθμῶν πισύνοις οὖσι τοῖς παρὰ Ῥωμαίων
to-them the halts trusting being to-the from (the)-Romans
ὅρκοις καὶ ταῖς ξυμβάσεσι. παραρρεῖ δὲ ταῖς ἐκεῖσε πεδιάσι
oaths and to-the agreements flows-past and the there plains
ποταμὸς οὐ πλατὺς τὸ ῥεῖθρον, οὐ βαθὺς τὴν περαίωσιν,
(a)-river not broad in-the stream not deep in-the crossing
Μέλας τοὔνομα. οὗτος τοίνυν θέρους μὲν λειψυδρῶν
Melas by-name this(-one) therefore in-summer indeed lacking-water
ἐς χαράδραν συνάγεται τεναγώδη, ὅτι μηδὲ διὰ
to (a)-ravine is-gathered shallow because not-even through
ψαμμώδους πρόεισι γῆς ἀλλ' ἐριβώλακος ἁπάσης καὶ
sandy it-goes-forward land but very-fertile all and
εἰς βαθεῖαν σχιζομένης ἀρόταις βουσὶν αὔλακα· χειμῶνος
into deep split by-plowing oxen furrow of-winter
δ' ἐφεστῶτος ἢ ῥαγδαίων ὑετῶν κατενεχθέντων ἐκ
and having-come or violent rains having-come-down from
μικροῦ μέγιστος γίνεται, καὶ προβὰς ἐς βαθυδίνην ἐκ
small greatest becomes and having-gone-forward to deep-eddying from
πονηροῦ καὶ λακκαίου ἀνοιδαίνεται ὕδατος, καὶ θαλάσσαις
wretched and pond-like swells water and with-seas
θέλων συνεξετάζεσθαι καὶ ποταμὸς οὐκέτ' ἀνεχόμενος εἶναι
wishing to-be-ranked and (a)-river no-longer enduring to-be
εἰς φλοῖσβον τραχύνεται καὶ πλωτὸς ἐκ βατοῦ γίνεται καὶ
to surge grows-rough and navigable from fordable becomes and
διεκχεῖται εἰς πλάτος. ἀμέλει καὶ διαρριπιζόμενος πνεύμασιν
pours-out to breadth indeed also being-fanned by-winds
εἰς κῦμα μετεωρίζεται, κἀντεῦθεν ἄχνην ἀποπτύων καὶ
into (a)-wave is-raised and-from-there foam spitting-out and
τῇ γείτονι χέρσῳ ὑβριστὴς προσαράσσων πόνους
on-the neighboring dry-land insolent dashing labors
παρασύρει γεωργῶν, ὁδοιπόρους ἐπέχει τῆς ὁδοῦ, καὶ ὡς
sweeps-away of-farmers travelers stops from-the road and as

ἐπίπαν εἰς χρῆμα ἐπάρατον σχεδιάζεται. τότε τοιγαροῦν
on-the-whole into (a)-thing accursed is-improvised then accordingly
οὗτος ὁ χειμάρρους ἐξ ὑετοῦ πολὺς καὶ κατακλύζων
this the torrent from rain great and flooding
φανείς, καὶ νυκτὸς ἐκ τοῦ αἰφνηδὸν ὑπερπλημμύρας ὡς
having-appeared and by-night from the sudden having-overflowed as
εἴπερ αὐτῷ οἱ καταρράκται ἀνεῴγεσαν οὐρανοῦ, ἀπάγει
if to-it the cataracts had-opened of-heaven carries-off
τῆς παρεμβολῆς τῶν Ἀλαμανῶν οὐ μόνον ὅπλα καὶ
from-the camp of-the Alamans not only arms and
ἵππεια φάλαρα καὶ ἐσθήματα καὶ εἴ τι ἕτερον αὐτοῖς
horse trappings and garments and if anything other for-them
ἐσκευαγώγει τὰ ὑποζύγια, ἀλλὰ καὶ ἵππους καὶ ὀρέας
carried the beasts-of-burden but also horses and mules
καὶ ἄνδρας ἱπποκορυστάς. καὶ ἦν τὸ θέαμα ἐλεεινὸν καὶ
and men horse-helmeted and was the sight pitiable and
θέλον ἀτεχνῶς δάκρυα, ἄνευ πολέμου πίπτοντες, ἄνευ
wishing simply tears without war falling without
διώκοντος ἀναιρούμενοι. οὐδὲ τὸ τῆς ἡλικίας σταδιαῖον
(a)-pursuer being-destroyed not-even the of-the stature (a)-stade's(-length)
μικροῦ καὶ πελώριον, οὐδ' ἡ μάχης ἀκόρητος δεξιὰ
by-little and monstrous nor the of-battle insatiable right(-hand)
εἰς ἀποφυγὴν ἐπήρκεσεν αὐτοῖς τοῦ κακοῦ, ἀλλ' ἔπιπτον
for escape sufficed for-them from-the evil but they-fell
ὡσεὶ χόρτος, καὶ ὡσεὶ φορυτὸς εἰληθερὴς καὶ πόκος
like grass and like rubbish sun-dried and (a)-fleece
ἐρίου κοῦφος παρεσύροντο, καὶ ψαλμικῶς εἰπεῖν τὰς
of-wool light were-swept-away and psalm-like to-say the
τούτων ἀπῆρεν ὁ ποταμὸς οὗτος φωνὰς βαρβαρικῶς
of-these lifted the river this voices barbarously
ἀλαλαζόντων καὶ μέλος ἐνδιδόντων ταῖς σκοπιαῖς καὶ
raising-the-war-cry and (a)-song giving to-the lookouts and

τοῖς γηλόφοις δι᾽ ὧν παρεσύροντο ἄγριον ὁμοῦ καὶ
to-the hills through which they-were-swept-away wild at-once and
ἀνήμερον καὶ οὐχ οἷον ᾄδουσι τὰ μελιχρὰ τῶν ποιμένων
untamed and not such-as sing the honeyed of-the shepherds
αὐλήματα, ὡς συλλογίζεσθαι τοὺς συνορῶντας τὸ
pipings so-that to-reckon the(-ones) perceiving the
τηνικαῦτα συμβὰν μῆνιν ἀπὸ θεοῦ ἄντικρυς εἰς τὸ τῶν
then having-happened (a)-wrath from God outright on the of-the
Ἀλαμανῶν στρατόπεδον ἐπενσκήψασαν, εἰ οὕτως ἀθρόον
Alamans camp having-fallen if thus at-once
ὕδατι κατεπόθησαν ὡς μηδὲ τὰ ἑαυτῶν ἐκσώσασθαι
by-water they-were-swallowed so-that not-even the their-own to-save
δυνηθῆναι σώματα. ὕπνωσαν τοίνυν κατ᾽ ἐκείνην τὴν
to-have-been-able bodies slept therefore in that the
νύκτα οἱ μὲν εἰς θάνατον, οἱ δὲ ὧν εἶχον ἀφανισμὸν
night some indeed into death others and of-what they-had into-disappearance
καὶ ἀπώλειαν. ὁ δέ γε ῥὴξ κατώδυνος ἐπὶ τῷ συμβάντι
and destruction the and at-least king grieved at the event
τούτῳ γενόμενος, καθυφείς δέ τι καὶ τοῦ κόμπου
this having-become having-relaxed and something also of-the boasting
βραχύ, καὶ θαυμάσας εἰ καὶ τὰ στοιχεῖα Ῥωμαίοις
little and having-wondered if even the elements to-(the)-Romans
ὑπείκουσι καὶ θελήσασι μόνον ὑπενδιδόασι, καὶ αἱ
yield and to-(them)-having-wished only give-way and the
ὧραι παρὰ τούτοις, ὅσα καὶ ὑπηρέτιδες, δεῆσαν τὰ
seasons with these just-as also handmaids being-needful the(-gifts)
ἀλλήλων ἀντιπαρέχουσιν, ἄρας ἐκεῖθεν διεπορεύετο. ὡς
of-one-another provide having-set-out thence marched as
δὲ καὶ εἰς τὴν πόλιν ἠγγίκει τὴν βασιλεύουσαν, εὐθὺς
and also to the city he-had-approached the reigning at-once
τὴν στρατιὰν εἰς τὸ ἀντιπέραν διαπορθμεύειν ἠναγκάζετο,
the army to the opposite(-shore) to-ferry he-was-compelled

κἂν ὑπερεφρόνει τὰ πρῶτα, καὶ βλακευόμενος ἀπηναίνετο
even-if he-was-scornful the first and being-lazy refused
τὴν περαίωσιν, παρὰ τῇ ἑαυτοῦ κεῖσθαι γνώμῃ λέγων τὸ
the crossing in the his-own to-lie judgment saying the
οὕτω δρᾶσαι καὶ μή, τῇ Περαίᾳ ἐναυλιζόμενος, ἥτις τοῦ
thus to-do and not — in-Peraia bivouacking which —
Πικριδίου κατονομάζεται. ὅθεν ἅπας μὲν ἐρέτης ἅπαν δὲ
of-Pikridion is-named whence every indeed rower every and
πορθμεῖον καὶ ἁλιὰς ξύμπασα καὶ ναῦς ἱππαγωγὸς τὴν
ferry and fishing-boat all and ship horse-carrying the
τῶν Ἀλαμανῶν ἀμφεπονεῖτο διάβασιν. ὁ δὲ βασιλεὺς καὶ
of-the Alamans labored-at crossing the and emperor also
τοῦ πλήθους τῆς στρατιᾶς ἀπογραφέας ἐφίστησιν, ἀνὰ
of-the multitude of-the army registrars sets-over at
πᾶσαν ἀποτάξας ἀναγωγήν, τοὺς ἐκείνῳ σημανοῦντας τὴν
every having-posted putting-to-sea the(-men) to-him going-to-signify the
κατ᾽ ἄνδρα περαίωσιν. ἀλλ᾽ ἦν τὸ πλῆθος ὑπερπεπαικὸς
by man crossing but was the multitude having-surpassed
τὴν ἀπογραφήν, καὶ διὰ τοῦτο οἱ τῇ ὑπουργίᾳ
the registration and because-of this the(-ones) over-the service
ταύτῃ ἐφεστηκότες, ἀπειπόντες πρὸς τὸ πλῆθος, ἄπρακτοι
this set having-given-up at the multitude unsuccessful
ἐπανέλυσαν. οὕτω τοίνυν ἀγαπητῶς τοῖς Ῥωμαίοις ὡσεί
returned thus therefore gladly for-the Romans as-if
τινος οὐρανίου δείγματος ἀπαισίου τοῦ ῥηγὸς εἰς τὴν ἑῴαν
of-some heavenly sign ill-omened the king into the eastern
λῆξιν διαβάντος, ἐφομαρτησάντων δὲ τούτῳ μετὰ βραχὺ
region having-crossed having-followed and him after (a)-little
καὶ ὅσοι τῶν ἐκ τοῦ γένους τῶν Φράγγων αὐτῷ
also as-many-as of-the(-ones) from the race of-the Franks with-him
συνανέβησαν, ὁ βασιλεὺς καὶ πάλιν τῆς αὐτῆς εἴχετο τῶν
went-up the emperor also again of-the same held of-the

οἰκείων χωρῶν προμηθείας ἧς καὶ πρώην ἐξήρτητο. οὐκ
own lands forethought on-which also formerly he-had-hung not
ἠμέλει δὲ καὶ οἷς οὗτοι τραφήσονται, ἀλλ' ἐφ' ὁδοῦ
he-neglected and also with-what these will-be-fed but on (the)-road
τὰ ὤνια καὶ αὖθις προυβέβληντο. ἐν μέντοι τοῖς τῶν
the wares also again were-set-out in however the of-the
χωρίων ἐπικαίροις καὶ ταῖς τῶν παρόδων στεναῖς λόχοι
places advantageous(-spots) and in-the of-the passes narrows ambushes
παρὰ Ῥωμαίων ἐφίζανον, δόξαν οὕτω τῷ Μανουήλ,
by (the)-Romans sat it-seemed(-good) thus — to-Manuel
καὶ οὐκ ὀλίγους ἐκ τῶν στρατοπέδων τούτων κατέκαινον.
and not few of the armies these they-killed
ἀλλὰ καὶ τὰς πύλας τῶν πόλεων ἐπιζυγοῦντες οἱ ἀστυκοὶ
but also the gates of-the cities barring the townsmen
οὐκ ἀγορῶν τοῖς Ἀλαμανοῖς μετεδίδοσαν, σχοίνους δὲ τοῦ
not of-markets to-the Alamans gave-a-share ropes and from-the
τείχους ἀποκρεμῶντες ἀνεῖλκον πρότερον τὸ ὑπὲρ τοῦ
wall letting-down they-drew-up first the for the(-thing)
ἀποδιδομένου κατατιθέμενον τίμημα, ἔπειτα διαχαλῶντες
sold deposited price then letting-down
ὅσον ἐβούλοντο, εἴτε ἄρτος ἦν τὸ πωλούμενον
as-much-as they-wished whether bread was the(-thing) sold
εἴτε τι βιώσιμον ἕτερον, εἴων, ἄθεσμα δρῶντες κατ'
or some living(-need) other they-let-be lawless(-things) doing against
αὐτῶν, ἐπαρωμένων τὸν παντέφορον ὀφθαλμὸν ὡς μὴ
them calling-down the all-seeing eye as not
χρωμένων σταθμοῖς δικαίοις μηδ' οἰκτειρόντων αὐτοὺς
using weights just nor pitying them
ὡς ἐπήλυδας, μήτε τι κατατιθεμένων ὡς ὁμοπίστοις
as strangers nor anything depositing as for-fellow-believers
οἴκοθεν, μᾶλλον μὲν οὖν καὶ προσαφαρπαζόντων ἐκ
from-home rather indeed then also snatching-away from

τοῦ σφῶν φάρυγγος ὅσα πρὸς σύστασιν σώματος. οἱ
the their throat what-things for sustenance of-body the
δὲ χείριστοι τῶν οἰκητόρων, καὶ ὅσοις τὸ ἀπάνθρωπον
and worst of-the inhabitants and to-whom the inhuman(-thing)
περιεσπούδαστο, οὐδὲ τὸ βραχύτατον γοῦν διεχάλων,
was-dear not-even the smallest at-any-rate let-down
ἀλλὰ τὸ χρυσίον ἀναρειψάμενοι ἢ τὸ ἀργύριον ἀνιμησάμενοι
but the gold having-snatched-up or the silver having-drawn-up
καὶ τῷ κόλπῳ ἐνθέμενοι ἀφανεῖς ἦσαν, οὐκέτι ἐν τοῖς
and in-the bosom having-put out-of-sight they-were no-longer on the
μεσοπυργίοις ἐποπτανόμενοι. εἰσὶ δ' οἳ καὶ τοῖς
curtain-walls being-seen there-are and those-who also with-the
ἀλφίτοις ἐμφύροντες τίτανον ἐποίουν τὰ σῖτα ὀλέθρια.
barley-meal mixing lime made the grains deadly
τοῦτο δὲ εἰ μὲν ἀληθῶς ὁ βασιλεὺς ἐπέταττεν, ὡς
this and if indeed truly the emperor ordered as
ἐλέγετο, ἀκριβῶς οὐκ ἴσημι· παρηνομεῖτο δ' οὖν ὅμως
was-said exactly not I-know was-done-unlawfully and then nevertheless
καὶ ἀνοσίως ἐπράττετο. ὃ δὲ τοῦ βασιλέως βούλευμα ἦν
and impiously was-done what and of-the emperor plan was
οὐκ ἀμφίλογον οὐδὲ ψεύδους παραπετάσματι σκιαζόμενον,
not disputed nor by-(a)-lie's screen shaded
ἀργύριον ἀδόκιμον εἰς νόμισμα κέκοφε, καὶ τοῦτο
silver debased into coin he-has-struck and this
προβάλλεται τοῖς ἐκ τοῦ τῶν Ἰταλῶν στρατεύματος
he-puts-forward to-the(-ones) from the of-the Italians army
ἀποδόσθαι τι θέλουσι. καὶ συντόμως εἰπεῖν, οὐδὲν
to-sell anything wishing and concisely to-say nothing
ἀπῆν τῶν δεινῶν ὃ οὐκ ἦν ἐπιτεχνώμενος αὐτοῖς
was-lacking of-the terrible(-things) which not was devising against-them
ὁ βασιλεὺς καὶ τοῖς ἄλλοις δρᾶν διακελευόμενος, ὡς ἂν
the emperor and to-the others to-do urging that —

εἴη ταῦτα καὶ τοῖς ἐξ αὐτῶν ὀψιγόνοις μνημεῖα
might-be these(-things) also for-the from them late-born memorials
δήπουθεν ἀνεξάλειπτα καὶ δέους σπέρματα, τὴν κατὰ
surely ineffaceable and of-fear seeds the against
Ῥωμαίων ἐκτρέποντα κίνησιν.
(the)-Romans turning-away movement

VI · THE BATTLE ON THE MAEANDER

Manuel urges the Turks against the crusaders, who are defeated near Bathys. Then the Turks hold the banks of the Maeander against the Latin army. Its king exhorts his men in a long speech on the holy war, leads them into the river, and the current seems to stand still as they cross. The Turks are cut down in great numbers, and heaps of their bones still stand there, like the walls of Cimbrian bones round the vineyards of Massalia after Marius' victory.

Παρόμοια δὲ καὶ τοῖς Τούρκοις ἐπῆλθε ποιεῖν κατὰ τῶν
similar(-things) and also to-the Turks it-occurred to-do against the
Ἀλαμανῶν, τοῦ Μανουὴλ αὐτοὺς ἐπαλείφοντος γράμμασι
Alamans — Manuel them anointing with-letters
καὶ διανιστῶντος εἰς πόλεμον. καὶ τοίνυν περὶ τὸν Βαθὺν
and rousing to war and therefore about the Bathys
ὑπερτερήσαντες, Παμπλάνου τινὸς ἡγουμένου τοῦ σφῶν
having-prevailed Pamplanos (a)-certain leading the their
στρατεύματος, πολλοὺς διέφθειραν. ἐπεὶ δὲ καὶ τῇ μοίρᾳ
army many they-destroyed when and also on-the part
ἐπέθεντο ἥτις τὴν Φρυγίαν παρώδευεν, εἰς κενὸν αὐτοῖς
they-attacked which — Phrygia was-passing into vain for-them
τὸ βούλευμα ἔσχασε, καὶ τὸν ὄλεθρον ἑκουσίως κατὰ
the plan dropped and the destruction willingly upon
τῶν κεφαλῶν αὐτῶν καὶ πόρρωθεν ὄντα μετάπεμπτον
the heads their also from-afar being summoned

ἀτεχνῶς ἐποιήσαντο, καὶ εἰς βόθυνον κατώλισθον ὃν
simply they-made and into (a)-pit they-slipped which
ταῖς οἰκείαις χερσὶν ἐβάθυναν. τῷ τοι καὶ δέον μηδὲν
with-the own hands they-had-deepened for surely also needful nothing
παρενοχλοῦντας οὐχὶ λυπεῖν, μηδ' ἀναγκάζειν τὸ τοῦ θυμοῦ
troubling not to-grieve nor to-compel the of-the wrath
θηρίον ἀφυπνίζειν τὸ τέως κοιμώμενον, ἢ πρὸς
beast to-awaken the(-beast) meanwhile sleeping or to
ἀνδροκτασίας διαρρενοῦν, οἱ δὲ εἰς φάλαγγας πυκνωθέντες
man-slayings to-make-manly they and into phalanxes packed
καὶ ταῖς ὄχθαις ἐφεστῶτες τοῦ ποταμοῦ (Μαίανδρος οὗτος
and on-the banks standing of-the river (the)-Maeander this
ἦν) οὐκ εἴων ὅλως τὰ Λατινικὰ στρατεύματα διελθεῖν.
was not they-let at-all the Latin armies to-pass-through
ἔστι δ' οὗτος καὶ τὸν μὲν ἅπαντα χρόνον οὐ ῥᾴδιος
is and this(-one) both the indeed whole time not easy
ἁπανταχοῦ τὴν περαίωσιν, τότε δὲ καὶ τέλεον ἦν ἄπορος,
everywhere (for)-the crossing then and also wholly was impassable
εἰς δίνας ἑλιττόμενος καὶ μεταχωρῶν εἰς στροφάλιγγας,
into eddies winding and changing into whirlpools
ὅτε κἀκ τῶν πραγμάτων αὐτῶν αἱ δυσμικαὶ δυνάμεις
οἰκείαις ὄψεσιν ἄμφω τὸν σίδηρον ἐδέξαντο σίζοντα,
own eyes both the iron received hissing
λόγῳ μὲν ἀστρονομίας ἐχόμενοι, ἔργῳ δὲ μαγγανείαις
in-word indeed to-astronomy holding in-deed and to-sorceries
προσκείμενοι καὶ δαιμονώδεσιν ἑτέροις φενακισμοῖς. ὁ
devoted and to-demonic other deceptions —

μὲν γὰρ Σκληρὸς ἐπιγάμου παρθένου ἦρα καὶ
indeed for Skleros of-(a)-marriageable maiden was-in-love and
ἐπείρα λαμπρῶς, παρορώμενος δὲ ὑπὸ τῆς κόρης καὶ
tempted(-her) openly being-overlooked and by the girl and
ἀδοξούμενος στέλλει ταύτῃ διὰ προαγωγοῦ τινὸς γυναίου
scorned he-sends to-her through procuress some woman
μῆλον Περσικόν. ἡ δὲ παρθένος καταθεμένη τοῦτο τῷ
(an)-apple Persian she and maiden having-put it in-the
κόλπῳ ἐκμαίνεται μάλα δὴ πρὸς ἔρωτα καὶ ἀφροδισίου
bosom is-maddened very indeed to love and with-sexual
ὑποπίμπλαται οἴστρου, καὶ τέλος διακορεῖται παρ' αὐτοῦ.
is-filled frenzy and (at-the)-end is-deflowered by him
οἱ δὲ τῆς παιδὸς προσγενεῖς βαρέως ἐνεγκόντες τὴν
the and of-the girl relatives heavily having-borne the
ταύτης ταπείνωσιν καταβοῶνται γενναίως μάλα τοῦ
her humiliation cry-out-against nobly very the(-one)
ταῖς νεάνισιν ἐφοπλίζοντος δαίμονας καὶ δίκην ὄφεως
against-the young-women arming demons and like (the)-serpent
ἀρχεκάκου δι' ὀπώρας τὰς παρθένους συλαγωγοῦντος
author-of-evil through fruit the maidens carrying-off-as-plunder
καὶ τῆς σώφρονος βιοτῆς ὡς ἐξ Ἐδὲμ ἀπελαύνοντος.
and from-the chaste life as from Eden driving-away
καὶ πικρόγαμος ἐντεῦθεν γενόμενος, ἣν κακῶς ἔβλεψεν,
and bitter-wedded thence having-become whom wickedly he-looked-at
οὐδ' ὅλως ἔτι ἑώρακεν. ὁ δὲ Σικιδίτης διά τινων
not-even at-all again he-saw — and Sikidites through some
ἀρρητουργιῶν καὶ δεδορκότα τῶν θεωμένων ἐσκότου τὰ
unspeakable-rites also seeing of-the watchers darkened the
βλέφαρα καὶ ἀπεπλάνα τοῦ τὰ θεατὰ ὡς ὄντα
eyelids and led-astray from-the the(-things) visible as being
ὁρᾶν, καὶ τῶν ὁρώντων τὰς ὄψεις παρέφερε, κατὰ
to-see and of-the(-ones) seeing the sights deranged by

φάλαγγας ἐπισυνιστῶν τοὺς δαίμονας, οὓς ἂν ἐκπλῆξαι
phalanxes assembling the demons whom — to-astound
βούλοιτο. ἔτυχε γοῦν ποτὲ ἀπὸ μετεώρου τῶν βασιλείων
he-wished happened at-any-rate once from (a)-height of-the palace
βλέπων εἰς θάλασσαν, κατήγετο δὲ ἁλιὰς τρυβλία
looking to (the)-sea was-going-down and (a)-fishing-boat dishes
καὶ λοπάδας ἔχουσα τὰ ἀγώγιμα. φησὶ τοίνυν πρὸς τοὺς
and platters having the cargo he-says therefore to the(-ones)
συνεστῶτας ὡς τίνα ἂν αὐτῷ κατάθωνται τὸν μισθόν,
standing-with(-him) that what — to-him they-would-pay the wage
εἰ τὸν νηΐτην τῶν ὀρθῶν φρενῶν διεκπλεύσαντα μὴ ἂν
if the boatman from-the right mind having-sailed-out not —
ὀκνῆσαι παρασκευάσειεν ἀναστῆναί τε τῶν σελμάτων,
to-hesitate he-should-make to-stand-up both from-the benches
τὴν δικωπίαν προέμενον, καὶ συντρῖψαι εἰς λεπτὰ τὰ
the pair-of-oars having-let-go and to-smash into pieces the
κεράμια. τῶν δὲ εὐγνωμονεῖν εἰπόντων πρὸς ἅπαν
earthenware they and to-agree having-said to every(-thing)
τὸ παρ᾽ αὐτοῦ αἰτηθέν, ὁ πρωρεὺς μετὰ βραχὺ τῆς
the(-thing) by him asked the bowman after (a)-little from-the
ἕδρας ἀνίσταται, καὶ τὴν κώπην ἀνὰ χεῖρας λαβὼν
seat stands-up and the oar in hands having-taken
κατέφερέ τε τῶν σκευαρίων συχνά, καὶ οὐκ ἀνῆκεν
brought-down both on-the wares often and not ceased
οὕτω διαπραττόμενος ἕως αὐτὰ εἰς κόνιν ἐλέπτυνεν. ἐκ
thus doing until them into dust he-ground from
δὲ τούτου οἱ μὲν ἄνωθεν θεώμενοι τῷ γέλωτι
and this the(-ones) indeed from-above watching with-the laughter
διερρήγνυντο, τὸ γεγονὸς τιθέμενοι διὰ θαύματος· ὁ δὲ
burst the event setting through wonder the and
πλωτὴρ ἀμφοτέραις μετ᾽ οὐ πολὺ τῶν γενείων δραξάμενος
sailor with-both after not much the beard having-grabbed

γοερὸν ἐπωδύρετο, καὶ ὡς θεοβλαβείᾳ τὰς φρένας
tearfully lamented and as by-God-sent-madness in-the wits
παρακοπέντα πολλῷ ἔτι μᾶλλον ἀνανήψας τοῦ ζόφου
deranged by-much still more having-recovered from-the gloom
ἑαυτὸν ὠλοφύρετο. ἐρωτώμενος δὲ ὅ τι πεπονθὼς τὸν
himself bewailed being-asked and what — having-suffered the
φόρτον οὑτωσὶ διέθετο, διεξῄει περιπαθῶς ὡς ταῖς κώπαις
cargo thus he-treated recounted passionately that to-the oars
προσανέχων αἴφνης ὄφιν ὁρᾷ δαφοινόν, πυρσώδη τὸν
attending suddenly (a)-serpent he-sees blood-red fiery in-the
λόφον, ἄνω τῶν τρυβλίων ἐκτεταμένον, ἐς αὐτὸν ἀτενὲς
crest above the dishes stretched-out at him intently
ὁρῶντα κατὰ τοὺς τῶν δρακόντων ἀκλινεῖς τὸ ὄμμα,
looking like the of-the dragons unbending in-the eye
καὶ καταπιεῖν ὀριγνώμενον, ὃς καὶ οὐκ ἔληξε τῶν
and to-swallow reaching which also not ceased from-the
ἑλίξεων πρὶν ἢ κατηλοήθη τὰ κεράμια· τὸ δ' ἐκ
coilings before than were-ground the earthenware the(-thing) and from
τούτου ἠφάντωται, ὥσπερ ἐκ μέσων οἱ τῶν ὀφθαλμῶν
this has-vanished as from (the)-midst his of-the eyes
ἀποπτάς. καὶ τοῦτο μὲν τοιοῦτον, ἕτερον δὲ κἀκεῖνο. ἐν
having-flown-away and this indeed such other and also-that in
βαλανείῳ λουόμενος ἦν, ἐς διαφορὰν δὲ καταστὰς μετὰ
(a)-bath bathing he-was into quarrel and having-come with
τῶν τοῖς αὐτοῖς νίτροις ἁγνιζομένων εἰς τὰ ἀπόδυτρα
the(-ones) with-the same sodas cleansing to the undressing-rooms
ἔξεισι. μετὰ μικρὸν δὲ καὶ οἱ ἐν τῷ λουτρῷ φεύγοντες
he-goes-out after (a)-little and also the(-ones) in the bath fleeing
καὶ συμπατοῦντες ἀλλήλους ἐξῄεσαν ἐκεῖθεν περιδεεῖς, οἳ
and trampling one-another went-out thence terrified who
καὶ τοῖς συνειλεγμένοις πυκνὰ τὸ πνεῦμα συλλέγοντες
also to-the(-ones) gathered often the breath collecting

ἔφασκον ὡς ἐκ τῆς θερμορρόης ἐκπηδήσαντές τινες ἄνδρες
said that from the hot-spring having-leapt-out some men
πίσσης μελάντεροι ἐξῶσαν αὐτοὺς τοῦ λουτροῦ, παίοντες
than-pitch blacker pushed-out them from-the bath striking
κατὰ τῶν γλουτῶν τῷ πλατεῖ τοῦ ποδός. διὰ ταῦτα
on the buttocks with-the flat of-the foot because-of these(-things)
τοίνυν ἀμφότεροι καὶ πράξεις δὲ ἀσελγεστέρας ἑτέρας
therefore both and deeds too more-licentious other
τῶν ὄψεων ἐστερήθησαν· οἱ δ' αὐτοὶ ἐπιβιώσαντες, ὁ
of-the eyes were-deprived they and themselves having-survived —
μὲν Σὴθ καὶ πάλιν τοῖς προτέροις ἐνησχόλητο, ἄτερος
indeed Seth also again to-the former was-busied the-other
δὲ εἰς μοναχὸν ἀποθριξάμενος, χρόνῳ ὕστερον σύγγραμμά
and into (a)-monk having-been-shorn in-time later treatise
τι περὶ τῶν θείων μυστηρίων ξυνθέμενος, ἀφῆκε δι'
some about the divine mysteries having-composed let-out through
αὐτοῦ κυνῶν ἐρυγὰς ὁ τῶν θείων δωρεῶν ἀνάξιος.
it of-dogs belchings the(-one) of-the divine gifts unworthy
Ἔργον κἀκεῖνο τοῦ βασιλέως τούτου περιφανές. αἱ Ἀσιαναὶ
(a)-deed also-that of-the emperor this conspicuous the Asian
πόλεις, τὰ Χλιαρὰ τὸ Πέργαμόν τε καὶ Ἀτραμύτιον,
cities — Chliara — Pergamon both and Atramytion
κακῶς ἔπασχον ὑπὸ τῶν Περσῶν· αἱ γὰρ περιοικίδες
badly suffered by the Persians the for surrounding
χῶραι ἀσυνοίκιστοί τε ἦσαν πρώην, κἀκ τοῦ κωμηδὸν
lands unsettled both were formerly and-from the village-wise
οἰκεῖσθαι εἰς προνομὴν τοῖς πολεμίοις ἐξέκειντο. καὶ αὐτὰς
to-be-inhabited for plunder to-the enemies were-exposed and them
τοίνυν ἐκρατύνατο τείχεσι, καὶ τὰ πλησίον δὲ ἱππήλατα
therefore he-strengthened with-walls and the near and horse-driven
πεδία φρουρίοις διέλαβεν ἐρυμνοῖς. οὕτω δὲ πλήθουσιν
plains with-forts he-occupied strong thus and swarm

οἰκητόρων ταῦτα δὴ τὰ πολίχνια καὶ τοῖς κατὰ
with-inhabitants these indeed the townlets and in-the(-things) of
τὸν ἥμερον βίοτον ἐνευθηνοῦνται χρηστοῖς ὡς ὑπεράνω
the tame life thrive good so-that above
κεῖσθαι πόλεων πολλῶν εὐδαιμόνων· ἀγροί τε γὰρ εἰς
to-lie cities many prosperous fields both for to
εὐφορίαν καρπῶν ἡμερωθέντες ἐπέδωκαν, καὶ φυτηκόμος
fertility of-fruits having-been-tamed grew and planting
χείρ ἐρριζούχισεν ἐκεῖσε ξύλον ἅπαν καρποδοτοῦν, ὡς
hand rooted there tree every fruit-giving so-that
μεταθέσθαι (φάναι τὸ τοῦ Δαβίδ) τὴν ἔρημον εἰς λίμνας
to-be-changed to-say the(-word) — of-David the desert into pools
ὑδάτων καὶ εἰς οἰκήσιμον τὴν πρώην ἀοίκητον. εἴ τι οὖν
of-waters and into habitable the(-land) formerly uninhabited if any then
κατόρθωμα μέγιστον, εἴ τι λυσιτελέστατον Αὔσοσιν ὁ
achievement greatest if anything most-profitable to-Ausonians —
Μανουὴλ διανενόηκέ τε καὶ διεπράξατο καθ' ὅσους ἦρξε
Manuel thought-out both and did during as-many-as he-ruled
Ῥωμαίων ἐνιαυτούς, τοῦτο εἴη ἂν τὸ κράτιστον ὁμοῦ καὶ
of-(the)-Romans years this would-be — the strongest at-once and
κοινωφελέστατον. τίς γὰρ παράγων ἐκεῖ, καὶ εἰδὼς οἵαν
most-beneficial who for passing there and knowing what-sort
μὲν ὁ χῶρος ἔτρεφεν ἀγριότητα οἵους δ' ἔστεγεν ἄνδρας,
indeed the place nourished savagery what-sort and it-housed men
ἀναιδεῖς μὲν ὑπὲρ τὸν κορυνήτην Περιφήτην, ἀγριωτέρους
shameless indeed beyond the club-bearer Periphetes more-savage
δὲ τοῦ πιτυοκάμπου Σίνιδος καὶ τοῦ Σκίρωνος, οὓς ἀνεῖλε
and than-the pine-bender Sinis and — Skiron whom killed
πάλαι Θησεύς, οὐκ ἂν τὰς χεῖρας ἀνατείνας τῷ βασιλεῖ
of-old Theseus not — the hands having-raised to-the emperor
ἐπεύξαιτο τῷδε κλῆρον ἐν Ἐδὲμ ἀΐδιον καὶ τόπον
would-pray for-this(-man) (a)-lot in Eden everlasting and (a)-place

χλοερὸν καὶ ἀνώλεθρον; οὐκοῦν καὶ ἴδιον ἐπώνυμον ταυτὶ
green and indestructible therefore also own name these
τὰ φρούρια κληρωσάμενα (Νεόκαστρα γὰρ ὀνομάζονται)
the forts having-been-allotted New-Castles for are-named
οἰκεῖόν τε ἁρμοστὴν ἐκ Βυζαντίου στελλόμενον ἔχουσι,
own both governor from Byzantium sent have
καὶ εἰς τὸ βασίλειον ταμιεῖον ἐτήσια ξυμφέρουσι κέρματα.
and into the imperial treasury annual contribute coins

MANUEL I, BOOK FIVE

I · THE STATUES AND THE HUNGARIAN WAR

Manuel sets up again the bronze statue of the Roman woman in the Forum and pulls down that of the Hungarian, thinking to turn fortune with them. At Sardike he hands the war to Andronikos Kontostephanos and exhorts the army; a Hungarian rider who falls on his face before them is taken as a good omen. The army crosses the Sava and the Danube and takes Zeugminon; hearing of it, Dionysios boasts he will pile Roman bones into a mound.

Αὖθις δὲ τῶν Παιόνων τοὺς ὅρκους συγχεάντων ὁ κατ᾽
again and the Paeonians the oaths having-confounded the against
αὐτῶν ἐκφύεται πόλεμος, καὶ πρὸς καιρὸν ἀπορρυεὶς
them springs-up war and for (a)-time having-flowed-away
καὶ δόξας τέλος καταλελύσθαι, ὁ δὲ κατὰ πολύχουν
and having-seemed (at-the)-end to-have-been-ended it and like much-heaped
ἀνέθηλε λήϊον μάκαρος ἀνδρὸς ἀκμαιοτέρους ἀμητῆρας
flourished (a)-crop of-(a)-blessed man more-vigorous reapers
ἐθέλον. ὡς οὖν ὑπέφαινεν ὥρα ὡραία τῇ ἐξόδῳ,
wanting as then appeared (the)-season seasonable for-the expedition
ᾔει τὴν ἐπὶ Σαρδικῆς βασιλεύς, ὅπου καὶ ταῖς
went the(-road) to Sardike (the)-emperor where also with-the

δυνάμεσιν, ἃς ἄγειν ἤμελλεν ἐπὶ Παίονας, τεταγμένον
forces which to-lead he-was-about against Paeonians appointed
ἦν αὐτῷ συμβαλεῖν. ἐν ᾧ δὲ τὰ στρατεύματα ξυνελέγετο,
was for-him to-meet in which and the armies were-collected
ἐνωτίζεταί οἱ ὡς ἄνωθεν τῆς ἀψῖδος, ἥτις ἔκτισται
he-hears to-him that above the arch which has-been-built
κατὰ τὸ πρὸς δυσμὰς μέρος τῆς Κωνσταντινείου ἀγορᾶς,
in the toward (the)-west part of-the Constantinian forum
εἰκόνες ἐκ χαλκοῦ δύο ἵδρυνται πάλαι γυναικόμορφοι,
statues of bronze two have-been-set-up of-old woman-shaped
ἡ μὲν καλουμένη Ῥωμαία θατέρα δὲ Οὔγγρισσα, νῦν δὲ
the one called Roman the-other and Hungarian now and
ὑπὸ τοῦ τὰ πάντα μετασκευάζοντος χρόνου ἡ μὲν ἀπὸ
by the the all changing time the indeed from
Ῥωμαίων τὴν κλῆσιν εἰληχυῖα τῆς ὀρθίας κατήρειπται
(the)-Romans the name having-obtained from-the upright has-been-thrown-down
στάσεως, ἡ δὲ λοιπὴ ἐπὶ τῆς προτέρας ἕδρασται βάσεως.
stance the and other on the former has-been-seated base
θαυμάσας οὖν ἐκεῖνος τὸ εἰρημένον, πέμψας εὐθὺς
having-wondered then he the(-thing) said having-sent at-once
τὴν μὲν ἀνέστησε τὴν δ' ἀνέτρεψε καὶ κατήνεγκε,
the one set-up the(-other) and overturned and brought-down
ταῖς τῶν εἰκόνων μετασκευαῖς μεταβαλεῖν καὶ μεθαρμόσειν
by-the of-the statues changes to-change and to-readjust
οἰόμενος καὶ τὰ πράγματα, καὶ τὰ μὲν τῶν Ῥωμαίων
thinking also the affairs and the(-things) indeed of-the Romans
οἷον μετεωρίσειν τὰ δὲ τῶν Παιόνων καθαιρήσειν.
as-it-were to-raise the(-things) and of-the Paeonians to-pull-down
συνηγμένων δὲ τῶν στρατοπέδων σκέψιν προύθηκεν
having-been-gathered and the armies (a)-consideration he-put-forward
εἰ δεῖ καὶ αὐτὸν συνεκστρατεύειν κατὰ Παιόνων,
whether one-must also himself to-campaign-with against Paeonians

εἴτε μὴν στρατηγῷ τὰς δυνάμεις ἐπιτρέψαντα μετελθεῖν
or indeed to-(a)-general the forces having-entrusted to-pursue
οὑτωσὶ τὸ ἀντίπαλον. ὡς οὖν πᾶσι δέδοκτο βασιλέα
thus the opponent as then to-all it-had-seemed(-good) (the)-emperor
μὲν ἐπὶ Σαρδικῆς καθῆσθαι, τῶν δ' ἡγεμόνων τοὺς
indeed at Sardike to-sit of-the and commanders the
γενικοὺς ἀναρρηθῆναι στρατηγοὺς τοῦ πολέμου, ὅπως αἱ
general(-ones) to-be-proclaimed generals of-the war so-that the
τῶν πραγμάτων ἄδηλοι ἐκβάσεις εἶεν οὕτω καὶ τὸ ἐκ
of-the affairs uncertain outcomes might-be thus both the from
τῆς ἥττης αἶσχος μετριάζουσαι καὶ τὸ κατορθωθὲν
the defeat disgrace moderating and the(-thing) succeeding
μεγαλύνουσαι μᾶλλον καὶ εἰς κλέος ἐξαίρουσαι μέγιστον, ὡς
magnifying rather and to glory raising greatest as
κἀκείνου τε καὶ τούτου ξυμβεβηκότος κατ' ἀπουσίαν τοῦ
both-of-that both and of-this having-happened in absence of-the
αὐτοκράτορος, ἀναδείκνυται τῆς ὅλης ἀρχηγὸς στρατιᾶς
autocrat is-appointed of-the whole commander army
ὁ τοῦ στόλου δοὺξ Ἀνδρόνικος ὁ Κοντοστέφανος. ἐν δὲ
the of-the fleet duke Andronikos the Kontostephanos in and
τῷ μέλλειν ἀπαίρειν τῆς Σαρδικῆς τὰ στρατεύματα, ἐν
the being-about to-set-out — from-Sardike the armies in
ἐπηκόῳ στὰς ὁ βασιλεὺς γίνεται καλῶν καὶ γενναίων
hearing having-stood the emperor becomes of-fine and noble
λόγων καὶ πολὺ τὸ πιθανὸν ἐχόντων ἀγορητής. αὐτόν
words and much the persuasive having speaker himself
τε γὰρ Κοντοστέφανον παρεθάρρυνεν εἰς τὴν προκειμένην
both for Kontostephanos he-encouraged for the lying-before
στρατήγησιν, οὐ μόνον μεθόδους ὑποτιθεὶς τακτικάς, ἀλλὰ
generalship not only methods suggesting tactical but
καὶ καιρὸν αὐτῷ τῆς προσβολῆς ἐπισημαινόμενος εἶδός τε
also (the)-time to-him of-the attack indicating form both

ὁπλίσεων καὶ σχήματα παρατάξεων, τούς τε ὑποστρατήγους
of-armaments and figures of-battle-lines the both lieutenant-generals
καὶ τοὺς ἰλάρχας καὶ καθεξῆς ἅπαντας τοὺς ἐν ὅπλοις
and the squadron-leaders and in-order all the(-men) in arms
διανίστη πρὸς μαχισμόν, ἐνάγων εἰς μνήμην τῶν
he-roused to fighting leading(-them) into memory of-the(-things)
προηγωνισμένων, καὶ πείθων τοῖς ὑποδείγμασι σπεῦσαι
fought-before and persuading by-the examples to-hasten
καὶ τὰ προκείμενα θαρρῆσαι δεινὰ καὶ ἀγαθὸν καὶ τούτοις
and the lying-before to-dare terrors and (a)-good also to-these
σὺν θεῷ ἐπιθεῖναι τέλος καὶ μετὰ λαμπρῶν τροπαίων
with God to-put end and with brilliant trophies
ἐπανελθεῖν· οὕτω γὰρ ὑπ᾽ αὐτῶν δοξασθεὶς ἐκεῖνος, κἂν
to-return thus for by them having-been-glorified he even-if
τῷ ἀπεῖναι τοὺς βαρβάρους νικήσας, ἀντικαταθήσει
in-the being-absent the barbarians having-conquered will-repay
καὶ αὐτὸς τούτοις οὐκ εὐαγκάλους τὰς ἀμοιβάς. οἱ δὲ
also himself to-them not easy-to-embrace the requitals they and
καὶ ὅτε μὲν ᾄδετο ταῦτα πρὸς τοῦ κρατοῦντος, τὸ
also when indeed was-sung these(-things) by the ruler the
ἡδέως ἀκούειν καὶ παραδέχεσθαι προθύμως ὑπέφαινον
gladly to-hear and to-receive eagerly showed
ἐξ ὧν τὰς ἀκοὰς ὑπέκλινον καὶ σιγὴν ἐπὶ τοῖς
from which(-things) the ears they-inclined and silence at the(-things)
λεγομένοις ἠσπάζοντο· ἐπεὶ δ᾽ ἐπαύσατο τοῦ λέγειν, ἔτι
said welcomed when and he-ceased from-the speaking still
μᾶλλον τὴν ἔνδον διάθεσιν ὑπεσήμαινον καὶ ὃν εἶχον
more the inner disposition they-indicated and which they-had
γάργαλον ἐν ψυχῇ, τῷ μέλιτι τοῦ λόγου κατακηλούμενοι,
tickling in (the)-soul by-the honey of-the speech being-charmed
ὑφ᾽ οὗ καὶ ἐῴκεσαν ἀτεχνῶς ἀποκλύσασθαι εἴ τί
by which also they-seemed simply to-wash-off if anything

που τούτοις εἰσερρύηκεν ἀηδὲς ἀπὸ τῆς μνήμης τῶν
somewhere into-them has-flowed unpleasant from the memory of-the
προτέρων πολέμων· βασιλέα τε γὰρ εὐφήμοις ἐκρότουν
former wars (the)-emperor both for with-auspicious applauded
φωναῖς, καὶ τὸ πρόθυμον καὶ ὑπὲρ ἰσχὺν ἐνδείξασθαι
voices and the eagerness even beyond strength to-show
ἰσχυρίζοντο. ἀμέλει μηδὲ μέλλειν ἐβόων τὸν στρατηγέτην,
insisted indeed not-even to-delay shouted the general
ἀλλὰ τὴν ἐπὶ τοὺς πολεμίους ἄγειν αὐτούς. οὕτως
but the(-road) against the enemies to-lead them thus
ἐξῃρμένων τῶν στρατευμάτων αἴφνης αἴρεται θροῦς ἐν τῷ
aroused the armies suddenly is-raised (a)-noise in the
στρατοπέδῳ συμμιγής· ἐκ γὰρ τοῦ τῶν Παιόνων τις
camp mixed from for the of-the Paeonians someone
ἔθνους τὸν ἵππον κατὰ κράτος ἐλαύνων, καὶ προσβαίνων
nation the horse by force driving and advancing
εἰς ὅσον καὶ ὅσον, ἐπὶ στόμα συγκατήνεκται τῷ
to as-much-as and as-much-as on (the)-mouth was-brought-down-with the
ὀχήματι. βασιλεὺς τοίνυν ὡς τοῦτο εἶχε πυθόμενος, αὐτός
mount (the)-emperor therefore as this he-had having-learned himself
τε διεκέχυτο καὶ θαρρεῖν παρεκελεύετο πᾶσιν, οὐκ
both was-cheered and to-take-courage exhorted all not
ἄχαρι τὸ μέλλον ἐντεῦθεν οἰωνιζόμενος, καὶ χαίρειν
unpleasant the future thence auguring and to-rejoice
ἐνάγων ὡς ἐπὶ δεξιᾷ ἤδη τῇ τοῦ πολέμου τελευτῇ. καὶ ὁ
urging as at (a)-right already the of-the war end and he
μὲν ἐν τούτοις ἦν, θεὸν σωτῆρα προηγὸν ἐπικαλούμενος
indeed in these(-things) was God (the)-savior leader calling-on
τοῖς στρατεύμασιν· ὁ δ' Ἀνδρόνικος τὸν στρατηλάτην
for-the armies — and Andronikos the general's(-belt)
ὑποζωσάμενος ἀπῆρεν ἐκεῖθεν μετὰ πασῶν τῶν δυνάμεων,
having-girded-on set-out thence with all the forces

καὶ εἶχεν αὐτὸν ἡμερῶν τινῶν διαλειπουσῶν ὁ Σάουβις
and had him days some having-intervened the Sava
καὶ Δάνουβις διαπεραιούμενον, καὶ τὸ Ζεύγμινον εἰσεδέχετο.
and Danube crossing and — Zeugminon received
οὐδ' οἱ Παίονες ἐπὶ τούτοις ἀναπεπτώκεσαν, ἀλλὰ τὰς
nor the Paeonians at these(-things) had-fallen-back but the
οἰκείας ἴλας ἀγειράμενοι καὶ συμμαχικὸν ξενολογήσαντες
own squadrons having-gathered and (an)-allied(-force) having-hired
οὐκ ὀλίγον ἐκ τῶν ὁμορούντων σφίσιν ἐθνῶν καὶ ἐξ
not small from the bordering on-them nations and from
αὐτῶν δὲ Ἀλαμανῶν, ὡς ἐλέγετο, καὶ Διονύσιον τούτοις
themselves and Alamans as was-said and Dionysios over-them
ἐπιστήσαντες στρατηγὸν αὐτοκράτορα, γενναῖον ἄνδρα
having-set (as)-general with-full-powers (a)-noble man
καὶ πολλάκις τὰς ἐναντίας συγκόψαντα φάλαγγας, καὶ
and often the opposing having-cut-up phalanxes and
φρονηματισθέντες οὕτω μετὰ κόμπου ἐπῄεσαν. οὗτος δὲ
having-been-made-proud thus with boasting they-came-on this(-man) and
ὁ Διονύσιος ὅτε πρώτως ἠκηκόει τὸν Ἴστρον διαβῆναι
— Dionysios when first he-had-heard the Ister to-have-crossed
Ῥωμαϊκὴν στρατιάν, γεγαυρωμένος ὢν ἐπὶ ταῖς πρότερον
(the)-Roman army being-arrogant being at the former
νίκαις ἃς ἤρατο κατὰ Ῥωμαίων, μεγαλορρημονῶν
victories which he-had-won against (the)-Romans boasting
ἔλεγεν ὡς εἰς κολωνὸν αὖθις ἐσεῖται ἀγηοχὼς τὰ τῶν
said that into (a)-mound again he-will-be having-brought the of-the(-ones)
εἰς πόλεμον πεσόντων Ῥωμαίων ὀστᾶ, καὶ οἷα τροπαίῳ
in war fallen (the)-Romans bones and as-for (a)-trophy
τούτοις ὡς καὶ ἄλλοτέ ποτε χρήσαιτο, ἐπεὶ καὶ ἦν
them as also at-other-time once he-might-use since also he-had

τι τοιοῦτον βαρβαρικῶς δεδρακώς, ὁπηνίκα τὸν Γαβρᾶν
something such barbarously having-done when — Gabras
καὶ τὸν Βρανᾶν, ὡς ἤδη μοι ἐρρέθη, κατηγωνίσατο.
and — Branas as already by-me was-said he-defeated

II · KONTOSTEPHANOS' SPEECH

Kontostephanos draws up his army on the feast of Saint Prokopios. A letter arrives from Manuel ordering a delay for astrological reasons, but he pockets it without telling anyone. He exhorts his men to fight beasts who flee from the bold, reminding them that the Romans surpass the barbarians in reason, learning, and generalship.

Ἐνστάσης δὲ τῆς ἑορτίου μνήμης Προκοπίου τοῦ μάρτυρος,
having-come and the festal memory of-Prokopios the martyr
ἐκτάσσει τὰς δυνάμεις εἰς πόλεμον ὁ Κοντοστέφανος, καὶ
draws-out the forces for war — Kontostephanos and
αὐτός τε ἐνέδυ τὸν θώρακα καὶ τὴν ἄλλην πανοπλίαν
himself both put-on the breastplate and the other panoply
ἠμφίεστο, καὶ τοῖς λοιποῖς ὡσαύτως ἐπέταττε δρᾶν,
was-clad-in and to-the rest likewise ordered to-do
καὶ τὴν ἑαυτοῦ ἕκαστος τάξιν ἐπεπορεύετο καὶ καθίστα
and the his-own each rank went-along and set
πρὸς τὸ εὔτακτον. καὶ τὸ μὲν τῆς φάλαγγος μέτωπον
for the good-order and the indeed of-the phalanx front
ἀπένειμεν ὁ στρατηγὸς ἑαυτῷ, τὸ δὲ κέρας τὸ δεξιὸν
assigned the general to-himself the and wing the right
Ἀνδρόνικος ἐπεῖχεν ὁ Λαπαρδᾶς, τὸ δὲ λαιὸν ἄλλοι
Andronikos held the Lapardas the and left other
ταξίαρχοι, οὓς ὁ στρατηγὸς συνεπήγετο. ἐξετετάχει δὲ
taxiarchs whom the general brought-with(-him) he-had-drawn-up and
καὶ ἄλλας φάλαγγας, μικρὸν ἄποθεν αὐτὰς διαστήσας
also other phalanxes (a)-little apart them having-set

ἑκατέρου κέρατος, ὅπως ἐπιπαριοῦσαι κατὰ καιρὸν
from-each wing so-that coming-alongside in time
εἴησαν ἐπαρήγουσαι τοῖς κάμνουσι τάγμασιν. οὕτω δ᾽
they-might-be helping to-the toiling units thus and
ἐκτάσσοντι τὰς δυνάμεις καὶ καθιστῶντι τῷ Ἀνδρονίκῳ
to-(him)-drawing-out the forces and setting — to-Andronikos
ἐφίσταταί τις ἐκ βασιλέως κομίζων γράμματα, ἐκείνην
stands-by someone from (the)-emperor bringing letters that
τὴν ἡμέραν καθυπερθέσθαι τὴν συμπλοκὴν ἐπιτάσσοντα ὡς
the day to-postpone the engagement ordering as
ἀσύμφορον ἐς ἔργα πολέμια, καὶ καθ᾽ ἑτέραν ἀναθέσθαι,
unprofitable for deeds war-like and on another to-defer
ἣν καὶ αὐτὴν τὸ ἐπιστόλιον ἀνεδίδασκε. δεξάμενος
which also itself the letter taught having-received
οὖν ὁ στρατηγὸς τὸ βιβλίον εἰς τὸν οἰκεῖον καθῆκε
then the general the paper into the own put
κόλπον, μήτε τοῖς γραφομένοις προσσχὼν μήτε
bosom neither to-the(-things) written having-attended nor
τοῖς συνοῦσι μεγιστᾶσι δῆλα τὰ προσταττόμενα
to-the with(-him) magnates plain the(-things) ordered
θέμενος, ἐπαινετῶς δὲ παρακρουσάμενος ἑτέρων ὑποθέσεων
having-made praiseworthily and having-cheated(-them) of-other subjects
διηγήσεσιν. ἀπετρέπετο δὲ ὡς ἀποφρὰς ἡ τότε ἡμέρα καὶ
with-narrations was-shunned and as ill-omened the then day and
ὅλως ἀξύμφορος πρὸς τὴν κατ᾽ Ἄρεα συμβολήν, ἐπεὶ καὶ
wholly unprofitable for the in Ares encounter since also
ἦν τὰς πλείστας καὶ μεγίστας τῶν πράξεων, καὶ παρὰ
he-was the most and greatest of-the deeds even from
θεοῦ τὸ πέρας κατ᾽ εὐδοκίαν εἴτε μὴ δεχομένας, ταῖς τῶν
God the end by good-pleasure or not receiving to-the of-the
ἄστρων οὐκ οἶδ᾽ ὅπως περιπλοκαῖς καὶ ταῖς τοιαῖσδε
stars not I-know how entanglements and to-the such

θέσεσι καὶ κινήσεσιν ἐπανατιθείς, καὶ τοῖς παρὰ τῶν
positions and movements referring and to-the(-things) by the
ἀστρολεσχούντων λεγομένοις καθυπαγόμενος ἴσα ταῖς ἐκ
star-babblers said being-led-under equal to-the from
θρανίδος θεοῦ ἀποφάσεσιν. ὁ δὲ μὴ τοῖς γραφομένοις
(the)-bench of-God sentences he and not to-the(-things) written
ὅλως προσσχών, ἀλλ' εἰδὼς ὡς μέγα ὤνησε πολλάκις τὸν
at-all having-attended but knowing that greatly helped often the
ἀθλοῦντα καὶ βραχεῖά τις ὑποφώνησις τοῦ ἀλείφοντος,
contestant even short some prompting of-the trainer
πρὸς τὸν ἐν χερσὶν ἀγῶνα διανίστησι λόγοις τὸ στράτευμα,
to the in hand contest rouses with-words the army
„μνήσασθε" ὑποφθεγγόμενος, „ἄνδρες Ῥωμαῖοι, πολεμίου
remember murmuring men Romans of-war-like
ἀλκῆς, μνήσασθε, καὶ μηδέν τι φρονήσητε τῆς δόξης καὶ
strength remember and nothing at-all think of-the glory and
τῆς τύχης τῆς ἐνούσης ἀνάξιον, εὖ εἰδότες ὡς καὶ θῆρες
of-the fortune the present unworthy well knowing that even beasts
ὀρεινόμοι τοῖς κατ' αὐτῶν εὐθαρσῶς ἐπιοῦσι δεδιάσί
mountain-ranging the(-ones) against them boldly attacking fear
τε προεγχειρῆσαι καὶ διασοβηθέντες ἀπίασιν, ὅσοι δὲ
both to-attack-first and scared go-away as-many-as and
αὐτοῖς ἀντιμέτωποι στῆναι πεφρίκασιν, εἰς ἑτοίμην θοίνην
to-them face-to-face to-stand have-shuddered for (a)-ready feast
ὠμοβορούμενοι πρόκεινται. ἀνδριστέον οὖν κατὰ τουτωνὶ
eaten-raw lie-before one-must-be-manly then against these
τῶν θηριογνωμόνων βαρβάρων, μή πως ὑπ' αὐτοῖς
the beast-minded barbarians lest somehow under them
γενώμεθα, φιλοψυχίαν ἀγεννῶς νοσήσαντες μὴ σώζουσαν
we-become love-of-life ignobly having-sickened-with not saving
ἀλλ' ἀπολλύουσαν, τοῦτο δὴ ὅπερ αἱ ταῖς ἀρεταῖς ἀντίθετοι
but destroying this indeed which the to-the virtues opposed

κακίαι εἰώθασι δρᾶν, εἰ καὶ παραπεπήγασιν αὐταῖς ἐκεῖναι
vices are-wont to-do if even they-are-fixed-beside them those
καὶ εἰσί πως ἀγχίθυροι. καὶ ἄλλως δὲ οὐχ ἡμεῖς μὲν ἐσμὲν
and are somehow next-door and otherwise too not we indeed are
καὶ βλητοὶ καὶ θνητοί, ἐκ δὲ χαλκοῦ τεχνητοὶ οἱ πολέμιοι·
both vulnerable and mortal of and bronze artificial the enemies
οὐδ' οὗτοι μὲν χιτῶνας περίκεινται σιδηρέους καὶ ὠκύποσιν
nor these indeed tunics wear iron and on-swift-footed
ἵπποις ἀνέχονται, ἡμεῖς δὲ τοὐναντίον ἅπαν καὶ σώματα
horses are-borne we and the-opposite wholly and bodies
γυμνὰ προβαλλόμενοι· οὐδ' εὐπάλαμνον μὲν τὸ ἀντίπαλον,
naked putting-forward nor skillful-handed indeed the opponent(-side)
ἀπόμαχον δὲ τὸ ἡμέτερον. τοῖς πᾶσιν ἡ αὐτὴ διάρτισις
unwarlike and the(-side) ours in-the all the same equipment
καὶ μέλησις πολέμων καὶ ὅπλισις. ἐῶ γὰρ λέγειν ὡς
and practice of-wars and armament I-pass-over for to-say that
ὅσῳ λόγῳ καὶ παιδείᾳ τῶν βαρβάρων διενηνόχαμεν,
by-as-much-as in-reason and education the barbarians we-have-surpassed
ὡς καὶ εἰπεῖν, ἔμπειροι καὶ ξυνιδεῖν οὐκ ἄποροι, τοσοῦτον
so-that also to-speak skilled and to-understand not at-a-loss so-much
καὶ τέχναις στρατηγικαῖς καὶ στρατιωτικαῖς μεθόδοις
also in-arts of-generalship and in-soldierly methods
ὑπερφέρομεν. ἤδη δὲ καὶ ἄλλοτέ ποτε συμβαλόντες
we-excel already and also at-other-time once having-engaged
διημιλλήθημεν Παίοσι, τὴν γῆν αὐτῶν ἐπιόντες καὶ
we-contended with-Paeonians the land their attacking and
κείροντες. οὕτω τοίνυν καὶ νῦν αὐτοῖς συμπλεκοίμεθα,
ravaging thus therefore also now with-them may-we-grapple
ὡς εἰς ἕξιν τοῦ νικᾶν προελθόντες. ναὶ ἄνδρες,
as into (the)-habit of-the conquering having-advanced yes men
ναὶ συστρατιῶται. οὕτω τέκνα καὶ συλλέκτρους ἴδητε.
yes fellow-soldiers so children and wives may-you-see

ἀράτω τὰς φωνὰς τῶν βαρβάρων ὁ βαθυδίνης οὑτοσὶ
let-raise the voices of-the barbarians the deep-eddying this
Ἴστρος ἐπιτριβομένων καὶ ταῖς δίναις ἐναποψυχόντων·
Ister being-crushed and in-the eddies expiring
ἀλλὰ καὶ αἱματώδης προρρέων δι᾽ ὧν χωρῶν ὁλκῷ
but also bloody flowing-forth through what lands in-(its)-course
σύρεται, διατρανούτω Παίονας ἡττημένους καὶ Ῥωμαίους
it-is-dragged let-it-proclaim Paeonians defeated and (the)-Romans
ἀνακηρυττέτω νικῶντας, ἐξιστῶν τοὺς θεωμένους τῷ
let-it-announce conquering astonishing the watchers by-the
ἀήθει τῆς προχοῆς. χρεὼν δὲ πρὸς τούτοις σκοπεῖν
unusualness of-the outpouring needful and besides these(-things) to-consider
ὡς ὁ ἐκπέμψας ἡμᾶς ἐς τόνδε τὸν πόλεμον ἅπας
that the(-one) having-sent us into this the war wholly
ἡμῶν ἐξήρτηται, καὶ χρησταῖς ἐλπίσιν ὑποθαλπόμενος ἐφ᾽
on-us hangs and by-good hopes being-warmed on
οἷς αὐτῷ καὶ ὑπὲρ ἰσχὺν ἀνδρίσασθαι συνεθέμεθα,
which(-things) to-him even beyond strength to-be-manly we-covenanted
μικροῦ τοὺς ζωγρίας ἀναπολεῖ καὶ τὸ τῆς νίκης φαντάζεται
by-little the captives counts-over and the of-the victory imagines
μέγεθος. μὴ τοίνυν κἀκεῖνον αἰσχύνωμεν καὶ ἡμᾶς
greatness not therefore also-that(-man) let-us-shame and us
αὐτοὺς κακῶς διαθώμεθα πρὸς τὸν ἐν ὄψει μαλακισθέντες
ourselves badly let-us-treat toward the in sight having-been-softened
κίνδυνον, οὐδὲν ὅτι μὴ θάνατον τὸ πέρας ἔχοντα. αἱ γὰρ
danger nothing except — death the end having the for
ἀκμαὶ τῶν κακῶν οὐ φιλοῦσιν ἀνάδυσιν, καὶ τὸ βραχέως
peaks of-the evils not love retreat and the briefly
ἐν τούτοις καθυπενδοῦναι καταπροδοῦναι τὸ πᾶν ἐστί.”
in these(-things) to-give-in to-betray the all is

Dionysios advances in a single mass under a banner on an ox-drawn cart; his knights and horses are fully armored. Kontostephanos attacks the flanks and the rear, the lances break, and the Romans win with iron maces. The Hungarians flee, and Kontostephanos returns. Manuel celebrates a magnificent triumph, with the icon of the Mother of God on a silver chariot drawn by white horses.

Τοιαῦτ' εἰπὼν ἐπὶ πεδίου ἀναπεπταμένου προῆγεν.
such(-things) having-said on (a)-plain spread-out he-led-forward
ἀντεξάγει δέ οἱ καὶ Διονύσιος τὰ οἰκεῖα στρατόπεδα,
leads-out-against and him also Dionysios the own armies
χαροπὸς τῷ προσώπῳ, κροτῶν ἅμα καὶ χαίρων ὡς ἐπὶ
bright-eyed in-the face clapping at-once and rejoicing as to
παιδιὰν ἐξιών. ὁπόθεν καὶ τὸ τί δεῖ ποιεῖν ἐπὶ καιροῦ
(a)-game going-out whence also the what one-must do at (the)-time
μὴ εἰδώς, οὔτε εἰς κέρας δεξιὸν καὶ εὐώνυμον τὴν ὑπ' αὐτὸν
not knowing neither into wing right and left the under him
ἐμέρισε στρατιὰν οὔτε εἰς ἴλας ἀποδιεῖλε καὶ φάλαγγας,
he-divided army nor into squadrons divided and phalanxes
ἀλλ' ἐς ὁμαιχμίαν συνεσπειρακὼς μίαν τοσοῦτον στράτευμα
but into one-battle-line having-gathered one so-great army
καὶ πυκνώσας οἷον αὐτὸ καὶ πυργώσας κατὰ νέφος
and having-packed as-it-were it and having-towered like (a)-cloud
μέλαν ἐπῆγεν, οὐδὲν ἐλλείπων ὑπεροψίας ὠμῆς. ἦν δὲ καὶ
black he-led-on nothing lacking of-contempt raw was and also
ἡ σημαία ἐκείνου μετέωρος, ἐπί τινος ἠνεμωμένη παχέος
the banner his aloft on some flying thick
καὶ ὑψιτενοῦς ἱστοῦ, τέτρασιν ὑποτρόχοις ἑλκομένου βοῶν
and high-stretched mast by-four wheels drawn of-oxen
ζεύγμασιν. αὐτὴ δὲ ἡ ἀντίμαχος ὁμαιχμία φρικαλέον ὄντως
by-yokes itself and the opposing battle-line (a)-dreadful truly

καὶ δυσαντίβλεπτον ὅραμα ἦν, πᾶσα οὖσα ἱππότης καὶ
and hard-to-look-at sight was all being cavalry and
λογχηφόρος. οὐ μόνον δὲ οἱ ἄνδρες μετεῖχον τοῦ ἀκριβοῦς
lance-bearing not only and the men shared of-the exact
ὁπλισμοῦ καὶ ποδηνεκοῦς, ἀλλ' ἦν ὁρᾶν καὶ τῶν
armament and foot-length but it-was(-possible) to-see also of-the
ἵππων αὐτῶν διαδήματα, μασχαλιστῆρας προφαινόντων
horses themselves headbands breast-straps showing
καὶ περικειμένων προμετωπίδια καὶ προστερνίδια τῶν
and wearing frontlets and breastplates of-the
βλημάτων ἐρύματα. ὁ δὲ τῶν ἵππων φριμαγμός, ἥ τε
missiles defenses the and of-the horses snorting the both
πρὸς ἥλιον ἀνταυγάζουσα τῶν ὅπλων στιλβηδών, ὡς
at (the)-sun flashing-back of-the arms gleam as
ἐγγὺς ἦν τὰ στρατεύματα, καινοτέραν ἐποίει τὴν θέαν καὶ
near were the armies more-new made the sight and
διὰ φόβου καὶ θαύματος τοῖς ἐκ τῶν στρατοπέδων
through fear and wonder to-the(-men) from the armies
ἀμφοῖν. ἐπεὶ δὲ προῆλθον ὡς εἰς μεταίχμιον καὶ περὶ
both when and they-advanced as into no-man's-land and about
μεσημβρίαν ἦν ἡ ἡμέρα καὶ καιρὸς ἐδόκει συρρήγνυσθαι, ὁ
midday was the day and (the)-time seemed to-clash —
μὲν Κοντοστέφανος τοῖς ἐκ δεξιοῦ καὶ λαιοῦ κέρως
indeed Kontostephanos to-the(-ones) from (the)-right and left wing
ἄγχιστα παρακολουθοῦσι τὰ τελευταῖα τῶν βαρβάρων
nearest following the last(-ranks) of-the barbarians
κόπτειν ἐφῆκε, μάλιστα δὲ τοῖς ἱπποτοξόταις θαμὰ βάλλειν
to-cut allowed especially and to-the mounted-archers often to-shoot
παρεκελεύετο. σκοπὸς δὲ ἦν ἐντεῦθεν τῷ στρατηγῷ
exhorted (the)-aim and was thence for-the general
κατασείσειν εἴτε μὴν ἐκκρούσειν τῆς συνεχείας τὰς
to-shake or indeed to-knock-out from-the continuity the

Παιονικὰς φάλαγγας· κατὰ γὰρ τὴν Ὁμηρικὴν καὶ τότε
Paeonian phalanxes in for the Homeric also then
παράταξιν „ἀσπὶς ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ'
battle-array shield on-shield pressed helmet on-helmet man and
ἀνήρ," καὶ ἴσας εἶχον οἱ ἵπποι τὰς κεφαλάς, ἔφριξε δ' ἡ
on-man and equal had the horses the heads bristled and the
μάχη ἐγχείῃσι φθισίμβροτος, καὶ κατὰ κινούμενον δράκοντα
battle with-spears mortal-destroying and like (a)-moving serpent
καὶ φρίσσοντα τὰς φολίδας ἐκύμαινον οἱ στρατοί. ὁ δὲ
and bristling the scales surged the armies — and
Διονύσιος ὡς τεῖχος ἀτίνακτον προύβαινεν, ἐς αὐτόν τε τὸν
Dionysios as (a)-wall unshaken advanced at himself both —
Κοντοστέφανον καὶ τὸ ἀμφ' αὐτὸν τεταγμένον τιταίνων
Kontostephanos and the(-band) around him ranged stretching
τὸ ἔγχος. ὡς οὖν ἐδέξαντο τοῦτον Ῥωμαῖοι, διαδορατισμοὶ
the spear as then received him (the)-Romans spear-thrusts
παρ' ἀλλήλων ἦσαν καὶ ὠθισμοὶ καὶ ἀντωθισμοὶ μέχρι
from one-another were and pushings and counter-pushings up-to
τινός· ἐπεὶ δὲ τὰ δόρατα κατεάγει καὶ ἦν τὸ μεταίχμιον
(a)-point when and the spears had-broken and was the no-man's-land
ἀποσχεδιασθὲν εἰς φραγμὸν τοῖς τῶν κοντῶν στοιβασμοῖς,
improvised into (a)-barrier by-the of-the lances heaps
τὰς ἐπιμήκεις ἐσέπειτα μαχαίρας ἐσπάσαντο καὶ αὖθις
the long thereafter swords they-drew and again
συμπεσόντες ἐμάχοντο. ὡς δ' ἤδη καὶ αὗται τὰ στόματα
having-clashed they-fought as and already also these the edges
ἠμβλύνθησαν διὰ τὸ τῶν στρατευμάτων πάγχαλκον καὶ
were-blunted because-of the of-the armies all-bronze and
πανσίδηρον, οἱ μὲν Παίονες ἠμηχάνουν τὸ ἀπὸ τοῦδε,
all-iron the indeed Paeonians were-at-a-loss the(-time) from this
μηδαμῶς κατὰ νοῦν θέμενοι ὡς ἐπιόντας αὐτοὺς Ῥωμαῖοι
in-no-way in mind having-set that attacking them (the)-Romans

δέξονται, Ῥωμαῖοι δὲ μετὰ χεῖρας τὰς ἐκ σιδήρου κορύνας
will-receive (the)-Romans and with (their)-hands the of iron maces
χειρισάμενοι (ἔθος δὲ αὐτοῖς καὶ τοιόνδε φέρειν ὁπλισμόν,
having-handled (a)-custom and for-them also such to-carry armament
ἡνίκα ἂν εἰς πόλεμον ἴοιεν) ἔπαιον τοὺς Παίονας δι'
when — to war they-go struck the Paeonians through
αὐτῶν· καὶ ἦν καίριον μάλα τὸ πλῆγμα, κατὰ κεφαλῆς
them and was mortal very the blow on head
καὶ προσώπων γινόμενον. πολλοὶ τοίνυν σκοτοδινιῶντες
and faces happening many therefore growing-dizzy
τῆς ἱππείας ἀνετρέποντο ἕδρας· εἰσὶ δ' οἳ καὶ
from-the riding were-overturned seats are and (those)-who also
ἐλειφαίμουν τοῖς τραύμασι. καὶ οὕτω τοῦ ἀρραγοῦς ἐκείνου
lost-blood from-the wounds and thus the unbreakable that
διασπασθέντος συντάγματος, οὐκ ἦν ὃς οὐκ ἦν τῶν
having-been-torn formation not was (one)-who not was of-the
Ῥωμαίων βάλλων καὶ καταβάλλων Παίονα, ἢ μὴ σκυλεύων
Romans striking and striking-down (a)-Paeonian or not despoiling
τὸν πεπτωκότα, ἢ μὴ πανοπλίαν ἑτέραν ἐπενδυόμενος,
the fallen or not panoply another putting-on
ἢ ἵππου μὴ ἐπιβαίνων οὗ τὸν ἀναβάτην κατέκανεν.
or (a)-horse not mounting whose the rider be-had-killed
ἐπειδὴ δὲ περὶ ὀψίαν ἦν ἡ ἡμέρα, τὸ μὲν ἀνακλητικὸν
when and about evening was the day the indeed recall
ἡ σάλπιγξ διατόρως συνεθημάτιζε, καὶ τὸ διαέριον ἐκεῖνο
the trumpet piercingly signaled and the airy that
καθῃρεῖτο τῆς τοῦ Διονυσίου σημαίας δίαρμα, ὁ δ'
was-taken-down of-the — of-Dionysios banner raising the and
Ἴστρος εἶχε τὰ πορθμεῖα καθειλκυσμένα, καὶ ὁ στρατὸς
Ister had the ferries launched and the army
εἰς τὴν περαίαν ἀνήγετο. φήμη γὰρ ἀνὰ τὰ Ῥωμαϊκὰ
to the opposite-bank put-out (a)-report for through the Roman

στρατόπεδα ἐπεφοίτα καὶ κατακρότους ἐτίθει τὰς τοῦ
camps came and pounding made the of-the
στρατηγοῦ μήνιγγας, ὡς οἱ Παίονες οὐκ ἀγεννῆ ξενολογίαν
general temples that the Paeonians not ignoble hired-force
κατὰ τὴν μετ' ἐκείνην εἰσὶν ἐκδεχόμενοι. διὰ ταύτην οὖν
on the after that(-day) are awaiting because-of this then
τὴν ἀκοήν, μὴ πεφυκυῖαν ἐπίπαν ἀπόλλυσθαι, αὐτίκα μετὰ
the hearing not being-wont at-all to-perish at-once after
τέλος αἴσιον τοῦ πολέμου ἀπῆρεν ἐκεῖθεν Ἀνδρόνικος.
(an)-end auspicious of-the war set-out thence Andronikos
Ἀλλ' οὕτω μὲν κατεστρατήγηντο Παίονες, βασιλεὺς δὲ
but thus indeed had-been-out-generaled Paeonians (the)-emperor and
τὴν καλλίστην ταυτηνὶ νίκην ἐνωτισάμενος θύει θεῷ
the finest this victory having-heard sacrifices to-God
χαριστήρια, καὶ αὐτὸς ἦν ἐν κρότοις καὶ χαρμοναῖς.
thank-offerings and himself was in applause and joys
κοινούμενος δὲ τοῖς τῆς βασιλίδος οἰκήτορσι πόλεως
sharing and with-the of-the imperial inhabitants city
ταῦτα δὴ τὰ εὐφρόσυνα κατορθώματα, γράμματα εὐθὺς
these indeed the cheerful successes letters at-once
εὐάγγελα στέλλει, τὴν τροπαιουχίαν περισαλπίζοντα. μεθ'
of-good-tidings he-sends the trophy-bearing trumpeting-round after
ἡμέρας δέ τινας καὶ αὐτὸς τὴν μεγαλόπολιν εἰσιὼν
days and some also himself the great-city entering
κατάγει θρίαμβον ἀπὸ τῆς ἑῴας πύλης, ἥτις ἀνέῳγε
leads-down (a)-triumph from the eastern gate which opens
κατὰ τὴν ἀκρόπολιν. οἷα δ' ἐπὶ μεγίστῳ τροπαίῳ
at the acropolis as and for (a)-greatest trophy
καὶ ἀκραιφνεῖ κατορθώματι θριαμβεύειν μεγαλοπρεπῶς
and pure success to-triumph magnificently
προθέμενος, καὶ τὰ τῆς πομπείας διασκευασθῆναι
having-purposed also the(-things) of-the procession to-be-arranged

πρὸς τὸ ὑπέρογκον διατέταχεν. ἅπας οὖν περιπόρφυρος
for the overweening he-ordered every then purple-bordered
πέπλος καὶ χρυσίῳ κατάστικτος ἀπῃώρητο, καὶ οἱ
robe and with-gold spotted was-hung-up and the
ἀστυνόμοι ἄλλος ἄλλοθεν ἐπὶ τὴν πρόοδον ἐκείνην
city-dwellers another from-another-place to the procession that
μεταρρυέντες ὡς ῥεῦμα κατὰ πρανοῦς ὀχετηγούμενον
having-flowed as (a)-stream down (a)-slope channeled
ἐξεκένωσαν ἀγορὰς οἴκους νεὼς ἐργαστήρια καὶ ἄλλο
emptied markets houses temples workshops and other
μέρος ἅπαν τῆς πολυχανδοῦς πόλεως. οὐδὲ τῆς τῶν
part all of-the capacious city nor of-the of-the
αἰχμαλώτων συμμορίας ὁ θρίαμβος ἀπεστέρητο, ἀλλὰ καὶ
captives company the triumph was-deprived but also
τούτων πολλοὶ διῆγον τοὺς παρόντας καὶ ἐσέμνυνον
of-these many led-through the(-ones) present and solemnized
τὴν πομπὴν παριόντες. αὐτὰ μέντοι τὰ καθ' ἑκάτερα
the procession passing themselves however the on both
μέρη τῆς ἀγυιᾶς, καθ' ἣν ἔμελλε τελεῖσθαι ὁ θρίαμβος,
parts of-the street along which was-about to-be-performed the triumph
παρυφιστάμενα δρύφακτα εἰς διώροφά τε καὶ τριώροφα
set-up stands to two-storied both and three-storied
παρυψούμενα πᾶσιν ἐνεποίουν θαυμασμόν, καὶ τὰ τέγη δ'
raised-up to-all produced wonder and the roofs and
οὐχ ἥκιστα μάλιστα πολλοὺς τοὺς θεωμένους καὶ πάντας
not least most many the watchers and all
ἀνέχοντα ἐκκρεμεῖς. ἐπεὶ δὲ καὶ τοῦ τὸν αὐτοκράτορα
holding hanging since and also of-the the autocrat
παρελθεῖν ἐπῆγε καιρός, προηγεῖτο μὲν ἀργύρεον ἐπίχρυσον
to-pass brought (the)-time went-before indeed (a)-silver gilded
τέτρωρον, ἵπποις λευκοῖς ὡς αἱ χιόνων ἀποσπάδες
four-horse(-chariot) by-horses white as the of-snows pieces

ἑλκόμενον, ἵδρυτο δ' ἐπ' αὐτοῦ ἡ εἰκὼν τῆς ἀπροσμάχου
drawn was-set and on it the icon of-the unassailable
συμμάχου καὶ ἀκαταγωνίστου συστρατήγου τῷ βασιλεῖ
ally and unconquerable fellow-general to-the emperor
θεομήτορος. οὐ μέγα δ' ἔβραχεν ἄξων, ὅτι μηδὲ
Mother-of-God not greatly and creaked (the)-axle because not-even
θεὰν ἦγε δεινὴν τὴν ψευδοπάρθενον Ἀθηνᾶν, ἀλλὰ
(a)-goddess it-carried dread the false-virgin Athena but
τὴν ὡς ἀληθῶς παρθένον καὶ ὑπὲρ λόγον διὰ λόγου
the(-one) as truly virgin and beyond reason through word
τὸν λόγον λοχεύσασαν. μετὰ δὲ τοῦτο οἱ καθ' αἷμα
the Word having-borne after and this the(-ones) by blood
τῷ βασιλεῖ περιώνυμοι, καὶ ὅσοι γερουσιάζοντες τὰς
to-the emperor renowned and as-many-as being-senators the
πολιτικὰς διεῖπον ἀρχάς, καὶ οἱ λαμπροὶ τοῖς ἀξιώμασι
civil administered offices and the brilliant in-the dignities
καὶ τῇ τοῦ βασιλέως εὐνοίᾳ περίκλυτοι. ἔπειτα δ'
and by-the of-the emperor goodwill famous then and
ὁ κρατῶν προῄει αὐτός, ἵππῳ ὑψαύχενι ἔποχος,
the ruler went-forward himself on-(a)-horse high-necked mounted
κύδιστος, μέγιστος καὶ κόσμους τοὺς βασιλικοὺς περιφανῶς
most-glorious greatest and ornaments the imperial conspicuously
περικείμενος. παρείπετο δέ οἱ καὶ ὁ τοῦ θριάμβου
wearing followed and him also the of-the triumph
αἴτιος Κοντοστέφανος, ὑμνούμενος τῆς νίκης, τοῦ δεξιοῦ
cause Kontostephanos being-hymned for-the victory of-the right
μακαριζόμενος ἀγωνίσματος. εἰς δὲ τὸν μέγαν νεὼν εἰσιὼν
being-blessed contest into and the great temple entering
καὶ τοῦ παντὸς ἐνώπιον λεὼ τὴν τοῦ κυρίου λαλήσας
and of-the whole before people the of-the Lord having-spoken

αἴνεσιν πρόεισιν ἐκεῖθεν εἰς τὰ βασίλεια. ὥσπερ δὲ τόξον
praise goes-forth thence to the palace as and (a)-bow
ἀνιεὶς ἑαυτὸν τῆς ἄγαν τάσεως διεχεῖτο ἵππων ἀμίλλαις.
loosing himself from-the excessive tension was-cheered with-horses' contests

IV · NEMANJA AND THE EGYPTIAN PLAN

Stephen Nemanja of Serbia seizes Croatia and Kotor. Manuel sends Theodore Padiates against him, then pursues him himself; Nemanja hides in the mountains, then submits in humble guise, and fears Manuel thereafter. Manuel plans to conquer Egypt with Amalric of Jerusalem and sends Andronikos Kontostephanos with over two hundred ships against Damietta; on the way to Cyprus he takes two Egyptian scout ships.

Καὶ τὸ ἐπιόν δὲ ἔαρ εἰς ἄνεσιν ταμιευσάμενος σώματος,
and the coming and spring for relaxation having-reserved of-body
ἐπειδὴ παρίππευσε Καρκίνον καὶ παρῆλθε Λέοντα ἥλιος,
when had-ridden-past (the)-Crab and passed (the)-Lion (the)-sun
ὅ τε Σείριος ὑπέληγε τῶν φλογώσεων, αἱ δὲ χειμέριοι
— and Sirius was-abating from-the blazings the and winter
τροπαὶ ἤδη παρεσκυθρώπαζον, ἔξεισι πρὸς τὰ ἑσπέρια
solstices already were-scowling he-goes-out to the west
καὶ κατὰ τὴν Φιλίππου ἐναυλίζεται. ἠκηκόει γὰρ ὡς ὁ
and at the(-city) of-Philip encamps he-had-heard for that the
τῶν Σέρβων σατράπης (ἦν δὲ τότε ὁ Νεεμᾶν Στέφανος)
of-the Serbs satrap was and then — Nemanja Stephen
ὑπὲρ ὃ δεῖ θρασύτερος γέγονε, καὶ κακόσχολος ὤν
beyond what is-needful more-bold has-become and mischievous being
τις ἥγηται σοφὸν τὸ περίεργον, καὶ τὴν ἐπιθυμίαν τρέφων
someone thinks wise the meddlesome and the desire nourishing
ἀκόρεστον καὶ πρὸς τὰ ἐκεῖ πάντα διαπλωθῆναι
insatiable and to the(-lands) there all to-be-spread

φιλονεικῶν τοῖς ἐκ τοῦ αὐτοῦ φύλου βαρὺς ἐμπίπτει
contending upon-the(-ones) of the same tribe heavy falls
καὶ ξίφει τὸ γένος μέτεισι, μήτε μὴν τὰ οἰκεῖα
and with-(the)-sword the race pursues nor indeed the own
εἰδὼς μέτρα Χορβατίαν ὑποποιεῖται καὶ πρὸς ἑαυτὸν
knowing measures Croatia wins-over and to himself
ἐπισπᾶται τῶν Καττάρων τὴν κυριότητα. διὰ ταῦτα
draws — of-Kotor the lordship because-of these(-things)
τοίνυν πεῖραν εἰληφέναι θέλων τοῦ ἐπὶ τούτοις τῷ
therefore (a)-test to-have-taken wishing of-the at these(-things) —
Νεεμᾶν βουλήματος, στέλλει μετὰ δυνάμεως τὸν Παδιάτην
to-Nemanja will sends with force — Padiates
Θεόδωρον. τῷ δὲ τοπάρχῃ Νεεμᾶν οὕτως ἀναρσίου
Theodore to-the and toparch Nemanja such hostile
μετῆν φρονήματος ὡς εὐθὺς ἐξενεγκεῖν ἀκήρυκτον πόλεμον
was spirit that at-once to-bring-out undeclared war
καὶ Ῥωμαίοις ἐπεισπεσεῖν. βασιλέως δ' αὐτὸν μετελθεῖν
and on-(the)-Romans to-fall (the)-emperor and him to-pursue
κρίναντος, ὀλίγον τῇ μάχῃ παραφανεὶς ἀπεκρύψατο,
having-decided (a)-little in-the battle having-appeared hid
τὰς τῶν ὀρῶν καὶ πάλιν ὑποδὺς καταδύσεις καὶ
the of-the mountains and again having-crept-into hiding-places and
τὰς πέτρας θέμενος εἰς ἀποκρυβήν. ἀεὶ δέ τι
the rocks having-made into concealment always and something
περικόπτων τῆς προλαβούσης ὀφρύος καὶ ὑφαιρῶν,
cutting-off from-the former brow and taking-away
τέλος τοῖς ἐκείνου ποσὶ τὴν οἰκείαν ὑποτέθεικε κεφαλήν,
(at-the)-end to-the his feet the own be-put-under head
μέγας μεγαλωστὶ τεταμένος καὶ περὶ τοῦ μὴ παθεῖν
great greatly stretched-out and about the not to-suffer
κακῶς δεόμενος· ἠγωνία γὰρ μή πως αὐτὸς μὲν
badly begging he-was-in-agony for lest somehow himself indeed

τῆς τῶν Σέρβων παραλυθῇ δυναστείας, τὸ δὲ κράτος
from-the of-the Serbs be-removed lordship the and power
μετενεχθῇ πρὸς τοὺς ἐκείνου ἄρχειν δικαιοτέρους, καὶ
be-transferred to the(-ones) than-him to-rule more-entitled and
οὓς αὐτὸς κατασπάσας εἶχε πρὸς τὴν ἀρχὴν ἀναχθείς.
whom himself having-pulled-down had to the rule having-been-raised
οὕτω δ' εὐμαρῶς μετῄει τοῦτον καὶ πρὸς τὴν ἐκείνου
thus and easily he-pursued him and to the his
πίστιν μετέστρεφεν, εἴ ποτε ἀποπλανώμενον ἑώρα τοῦ
faith turned(-him) if ever wandering he-saw(-him) from-the
εὐθέος καὶ ἐλεύθερον βλέποντα, ἢ τῷ τῶν Ἀλαμανῶν
straight and free looking or to-the of-the Alamans
ῥηγὶ προστιθέμενον ἢ τοῖς Οὔννοις προσνεύοντα καὶ κοινὸν
king attaching(-himself) or to-the Huns inclining and common
ἐκείνοις βαλάντιον καὶ πήραν προσκτώμενον, ὡς οὐδὲ
with-them purse and wallet acquiring as not-even
ποιμὴν ποίμνιον εὐπερίγραπτον. οὕτω δ' ἐδεδοίκει τοῦτον
(a)-shepherd (a)-flock easily-encircled thus and feared him
ὁ Νεεμὰν ὡς οὐδὲ τὸν βασιλικώτατον θῆρα τὰ κνώδαλα·
— Nemanja as not-even the most-kingly beast the wild-creatures
ὅς γε καὶ τὰ ἱππάσιμα μόνα πολλάκις ἐπιφερόμενος
who at-least also the(-horses) riding alone often bringing
καὶ τοῖς δορυφοροῦσιν εἰπὼν „ἕπεσθε," τὰ Ῥωμαίων
and to-the bodyguards having-said follow the of-(the)-Romans
παρήλλαττεν ὅρια, καὶ κατ' αὐτοῦ ἐξορμῶν πρὸς τὸ
passed borders and against him setting-out toward the
οἰκεῖον ἐφετὸν τὰ ἐκεῖθεν μετήμειβε πράγματα.
own desire the(-things) there changed affairs
Ἀλλὰ τίνα τὰ ἐπὶ τούτοις; ἐρᾷ καὶ στρατείας
but what (are)-the(-things) upon these he-loves also of-campaign
ὑπερορίου, καὶ τὸ τῆς Αἰγύπτου ἐνωτιζόμενος πάμφορον,
beyond-the-borders and the — of-Egypt hearing all-bearing

καὶ ὅσα γεωργεῖ Νεῖλος ὁ καρποδότης καὶ εὔσταχυς,
and as-much-as tills (the)-Nile the fruit-giver and fair-eared
τοῖς πήχεσι μετρῶν τὸ εὔδαιμον, ἔγνω ἐν θαλάσσῃ θέσθαι
by-the cubits measuring the prosperity resolved in (the)-sea to-set
χεῖρα αὐτοῦ καὶ ἐν ποταμοῖς δεξιὰν αὐτοῦ, εἴ πως τὰ δι᾽
(the)-hand his and in rivers (the)-right his if somehow the through
ἀκοῆς ἐρώμενα Αἰγύπτια ἀγαθὰ καὶ ὀφθαλμοῖς ἐντράνοις
hearing loved Egyptian good(-things) also with-eyes clear
θεάσαιτο καὶ θείη ληπτὰ ταῖς χερσίν. ἐποίει δ᾽ ἐκεῖνον
he-might-see and might-make graspable with-the hands made and that(-man)
ταῦτα φαντάζεσθαι τὰ ἐν ποσὶν ὑπεραλλόμενον,
these(-things) to-imagine the(-things) at (his)-feet leaping-over
καὶ ταῦτα ἔτι ὠδίνοντα, καὶ τεμνόμενα μὲν καὶ
and these(-things) still in-travail and being-cut indeed and
κατακαιόμενα, οὐκ ἀφαντούμενα δὲ καὶ ἀμαυρούμενα ἀλλὰ
being-burned not vanishing and and being-dimmed but
παλιμφυῆ κατὰ τὴν ὕδραν γινόμενα, φιλοδοξία τις ἄκαιρος
growing-again like the hydra becoming love-of-glory some unseasonable
καὶ τὸ πρὸς βασιλεῖς ἀνθαμιλλᾶσθαι, οἷς τὸ κλέος πολὺ
and the with kings to-vie whose the fame (is)-great
καὶ τὰ σχοινίσματα οὐκ ἀπὸ θαλάσσης μόνον ἕως θαλάσσης
and the measured-lands not from sea only to sea
ὑφαπλούμενα πρὶν παρετέτατο, ἀλλ᾽ ἐκ τῶν ἑῴων
spreading before had-been-stretched-out but from the eastern
ὁρισμάτων μέχρι τῶν ἑσπερίων διικνεῖτο στηλῶν. οὐκοῦν
boundaries up-to the western reached pillars therefore
καὶ τὸ σκέμμα τῷ τῶν Ἱεροσολύμων ῥηγὶ Ἀμερίγῳ
also the consideration with-the — of-Jerusalem king Amalric
κοινωσάμενος, κἀκεῖνον εὑρὼν οὐκ ἀποπεμπόμενον
having-shared and-that(-man) having-found not rejecting
τὸ ἐννόημα, μᾶλλον μὲν οὖν καὶ συλλαβέσθαι οἱ τοῦ
the idea rather indeed then also to-help him in-the

ἐγχειρήματος ὑπισχνούμενον, στόλον καταρτύει βαρὺν κατὰ
undertaking promising (a)-fleet he-equips heavy against
τοῦ Ταμιάθου εἰς νῆας μακρὰς διακοσίας καὶ ἔτι πρὸς
— Damietta to ships long two-hundred and still besides
ἀριθμούμενον, ἐν αἷς κατελέγοντο δέκα μὲν αἱ ἀπὸ
numbered among which were-enrolled ten indeed the(-ones) from
τῆς Ἐπιδάμνου ἀναχθεῖσαι, ἓξ δὲ ταχυναυτοῦσαι ἅπασαι,
— Epidamnos having-put-out six and swift-sailing all
ἃς ἐπλήρουν οἱ Εὐβοεῖς· ἀναδείκνυσι δὲ ναύαρχον τὸν
which manned the Euboeans appoints and (as)-admiral the
μέγαν δοῦκαν τὸν Κοντοστέφανον Ἀνδρόνικον. ἀπὸ δὲ
grand duke — Kontostephanos Andronikos from and
τουτωνὶ τῶν τριηρέων ἑξήκοντα τῷ Μαυροζούμῃ παραδοὺς
these the triremes sixty — to-Mavrozomes having-given
Θεοδώρῳ πρὸς τὸν ῥῆγα ἐξέπεμψε, προκαταγγελοῦντα
Theodore to the king he-sent-off going-to-announce
μὲν καὶ τὴν ὅσον οὐδέπω τοῦ λοιποῦ στόλου ἀναγωγὴν
indeed also the as-much-as not-yet of-the remaining fleet putting-to-sea
καὶ τὴν ἐκεῖσε τοῦ Κοντοστεφάνου ἄφιξιν, διαναστήσοντα
and the there — of-Kontostephanos arrival going-to-rouse
δὲ κἀκεῖνον ὡς εἴη ἑτοιμασάμενος τὰ πρὸς
and also-that(-man) so-that he-might-be having-prepared the(-things) for
τὴν ἔξοδον, ἅμα δ' ἀποκομίσοντά οἱ καὶ τὰ τῶν
the expedition at-once and going-to-carry to-him also the of-the
Ἱεροσολυμιτῶν ἱππέων ὀψώνια, ὅσοι συνεκστρατεύειν
Jerusalemite horsemen pay as-many-as to-campaign-with
ἔμελλον τῷ ῥηγὶ συνεφαπτομένῳ τοῦ πολέμου καὶ κατ'
were-about to-the king taking-part-in the war and against
Αἰγυπτίων τιθεμένῳ τὴν κίνησιν, καθ' ὧν ὁ στόλος ὁ
Egyptians making the movement against whom the fleet the
Ῥωμαϊκὸς συγκεκρότητο. μετ' οὐ πολὺ δὲ καὶ αὐτὸς ὁ
Roman had-been-assembled after not much and also himself —

εἶναι, ἢ γοῦν ἀναξυρίδα περίκειται, τοῖς χρυσοσύλαις
to-be or at-any-rate trousers wears with-the gold-plunderers
συρραγεὶς Πέρσαις καὶ συγκόψας τούτους θαρραλεώτερον
having-clashed Persians and having-cut-down them more-boldly
ἐπανασωσάτω Ῥωμαίοις τὰ ἁρπαζόμενα." ἐσιώπα
let-him-recover for-(the)-Romans the(-things) being-snatched was-silent
δὲ καὶπὶ τούτοις τοῖς ῥήμασι, μὴ ὑπ' ὀδόντα γρύζων μηδὲ
and even-at these the words not under (the)-tooth grumbling nor
τονθορύζων, ἀλλὰ φέρων τὴν τοῦ κερτόμου προπέτειαν
muttering but bearing the of-the mocker rashness
ὡς Δαβὶδ πάλαι Σεμεεὶ τὴν αὐθάδειαν. ὀψὲ δὲ καὶ ὁ
as David of-old (of)-Shimei the self-will late and also —
Κοντοστέφανος Ἀνδρόνικος ἀβλαβὴς παρῆν, ὃς ἡγεῖτο
Kontostephanos Andronikos unharmed was-present who led
τῶν τελευταίων τάξεων, καὶ ἕτεροι τῶν δυναμένων
the last ranks and others of-the(-ones) being-powerful
μέγα παρὰ τῷ Μανουὴλ ἀπλῆγες συνδεδραμήκασιν.
greatly with — Manuel unwounded have-run-together
Ἐπεὶ δὲ νὺξ ἐπῆλθε καὶ σκότος ἡμέρας διάδοχον τὸν
when and night came-on and darkness of-day (as)-successor the
πόλεμον ἔπαυσεν, ἀδημονῶν ἅπας καθῆστο ὑπτίῳ τῷ
war stopped being-distressed everyone sat on-upturned the
τῆς χειρὸς κοίλῳ ῥίψας τὴν κεφαλήν, καὶ τὸν ἐνεστῶτα
of-the hand hollow having-thrown the head and the present
κίνδυνον φανταζόμενος οὐ τοῖς ζῶσι συνέταττεν ἑαυτόν,
danger imagining not with-the living ranked himself

καὶ μάλισθ᾽ ὅτι τὸν χάρακα περιτρέχοντες διαπρυσίοις
and especially because the palisade running-round with-piercing
ἀνεκάλουν φωναῖς οἱ βάρβαροι τοὺς ὁμοεθνεῖς αὐτοῖς,
called voices the barbarians the of-the-same-nation with-them
οἳ κατὰ χρείαν ἢ μετάθεσιν πίστεως πρὸς Ῥωμαίους
who for need or change of-faith to (the)-Romans
προυχώρησαν πάλαι, καὶ παρῄνουν ἐξελθεῖν αὐτονυχὶ
had-gone-over long-ago and urged to-go-out on-that-very-night
τοῦ στρατηγίου ὡς ἀπολουμένων ἄρδην ἕωθεν αὐτίκα
from-the camp as going-to-perish utterly at-dawn at-once
τῶν ἐν αὐτῷ. διενυκτέρευον οὖν Ῥωμαῖοι κατὰ
of-the(-ones) in it passed-the-night then (the)-Romans by
φρήτρας καὶ λογάδας τοῖς φύλοις φῦλα συναγειρόμενοι,
brotherhoods and select-bands to-the tribes tribes gathering
βαπτόμενοι πρὸς ὦχρον ὑπὸ δέους, εἰς οἷον τὰ πέταλα
being-dipped to paleness by fear to such-as the leaves
τῶν δένδρων κατὰ καιρὸν τὸν φυλλοχόον μεταμορφάζεται.
of-the trees at (the)-time the leaf-shedding is-changed

V · THE TREATY

Manuel proposes to flee secretly, but a common soldier protests aloud. God moves the sultan to mercy: he sends Gabras with a horse and a sword and offers peace, demanding the demolition of Dorylaion and Soublaion. Manuel returns by the road of the dead, a sight of horror, and Niketas recalls the dreams that foretold the disaster.

αὐτὸς δὲ ὁ κρατῶν ἀγενεστάτας βουλὰς ὤδινεν. ὡς δὲ
himself and the ruler most-ignoble counsels was-in-labor-with as and
ταύτας ἀποτεκὼν εἰς ἀκοὴν τῶν σὺν ἐκείνῳ ἐξέφερε,
these having-brought-forth into hearing of-the(-ones) with him brought-out

καὶ ἦν τὸ ὑφηγούμενον λαθραία φυγὴ καὶ τοσούτων
and was the(-thing) suggested secret flight and of-so-many
ψυχῶν εἰς αἰχμαλωσίαν καὶ θάνατον ἔκδοσις, ἐκπλήττει
souls to captivity and death (a)-surrender astounds
τοὺς ἀκροωμένους, καὶ μᾶλλον τὸν Κοντοστέφανον, ὡς
the hearers and more — Kontostephanos as
ἀνδρὸς ἀλλοφρονοῦντος καὶ περιστρεφομένου σκοτοδίνῃ
of-(a)-man deranged and spun by-dizziness
ἀτεχνῶς φθεγγόμενος ῥήματα. οὐ μόνον δὲ οἱ πρὸς
simply speaking words not only and the(-ones) for
σκέψιν τοῦ ποιητέου συνελθόντες βαρέως ἤνεγκαν τὰ
consideration of-the to-be-done having-come-together heavily bore the(-things)
ἠνωτισμένα, ἀλλὰ καί τις ἔξωθεν ἑστὼς τῆς σκηνῆς
heard but also someone outside standing of-the tent
ἐκ τῶν ἀγνώστων καὶ τῶν πλείστων στρατιωτῶν, ὡς τὸ
of the unknown and of-the very-many soldiers as the
βασιλικὸν ἐς οὖς ἐδέξατο σκέμμα, ὑψώσας τὴν φωνὴν
imperial into (his)-ear received thought having-raised the voice
καὶ διωλύγιον ἀνοιμώξας „φεῦ" εἶπεν, „ὁποῖα δὴ καὶ ὁ
and loudly having-groaned alas said what-things indeed also the
βασιλεὺς Ῥωμαίων εἰς νοῦν ἐβάλετο." καὶ πρὸς ἐκεῖνον
emperor of-(the)-Romans into mind has-cast and to him
τὴν τοῦ λόγου στρέψας ὁρμὴν „οὐχὶ σύ" φησιν „ὁ διὰ
the of-the speech having-turned rush not you he-says the(-one) through
τῆς ἐρήμης ταύτης καὶ στενῆς ὁδοῦ ἐκθλίψας ἡμᾶς καὶ εἰς
the desert this and narrow road having-squeezed us and into
ἀπώλειαν διηθήσας, ἢ μᾶλλον οἱονεί τινι ὅλμῳ ἐκπιέσας
destruction having-strained or rather as-if in-some mortar having-pressed-out
τοῖς συμπίπτουσι τούτοις σκοπέλοις καὶ τοῖς πεσοῦσιν
by-the falling-together these crags and by-the fallen
ἀτεχνῶς ἐφ' ἡμᾶς ὄρεσι; τί ἡμῖν καὶ τῇ κοιλάδι ταύτῃ
simply on us mountains what to-us also to-the valley this

τοῦ κλαυθμῶνος καὶ τῷ στομίῳ τοῦ ᾅδου ἄντικρυς καὶ
of-the weeping and to-the mouth of-the Hades outright and
τῷ παρελθεῖν τὰς ἀνωμάλους ταύτας καὶ τραχείας τροχιάς;
to-the to-pass the uneven these and rough tracks
ἢ τί ἴδιον ἐπάγειν τοῖς βαρβάροις ἐπίκλημα εἴχομεν, οἳ
or what own to-bring to-the barbarians charge had-we who
τοὺς χώρους τούτους τοὺς στενούς τε καὶ βιαίους καὶ
the places these the(-ones) narrow both and forced and
σκολιοὺς περικαθίσαντες ἡμᾶς ἐσαγήνευσαν; καὶ νῦν ὅπως
crooked having-surrounded us have-netted and now how
καταπροδίδως ὡς πρόβατα σφαγῆς τοῖς ἐχθροῖς;" τούτοις
you-betray as sheep for-slaughter to-the enemies these
μαλαχθεὶς τὴν ψυχὴν εἴτ' οὖν ἕως καρδίας δηχθεὶς εἰς ἑτέραν
softened in-the soul or then to (the)-heart bitten to another
ἐτράπετο καὶ τὴν κατὰ τὸν καιρὸν ἐκεῖνον ἐλᾶν εἵλετο.
turned and the(-road) at the time that to-drive he-chose
Ἀλλ' ὁ σπέρμα ἐγκαταλείπων πάλαι τῷ Ἰσραήλ,
but the(-one) (a)-seed leaving of-old — to-Israel
ἵνα μὴ εἰς τέλος ἀφαντωθείη τὸ ἐκείνου κληρούχημα
that not to (the)-end might-be-made-to-vanish the his allotment
ὡς Σόδομα γεγονὸς καὶ ὁμοιωθὲν ὡς Γόμορρα,
as Sodom having-become and having-been-likened as Gomorrah
ὁ παιδεύων καὶ πάλιν ἰώμενος, ὁ πατάσσων
the(-one) chastening and again healing the(-one) striking
καὶ ζῆν ποιῶν, ὁ μὴ τὴν ῥάβδον τῶν ἁμαρτωλῶν
and to-live making the(-one) not the rod of-the sinners
ἐπὶ τὸν κλῆρον τῶν δικαίων εἰς τέλος ἐῶν, οὗτος καὶ
on the lot of-the righteous to (the)-end allowing this(-one) also
τότε τὸ ἅγιον ἔθνος κατοικτειρήσας καὶ μὴ ἀπώσασθαι
then the holy nation having-pitied and not to-thrust-away
θελήσας ἐπίπαν κάμπτει τὴν τοῦ σουλτάνου ψυχὴν
having-wished wholly bends the of-the sultan soul

εἰς ἀξύμφυλον ἔλεον τὸ καινότατον, καὶ ὃς τὴν τοῦ
to foreign-to-his-nature mercy the newest(-thing) and he the of-the
βασιλέως ἀρετὴν αἰδούμενος πρότερον, τότε καὶ ταῖς
emperor virtue respecting before then also at-the
ἐκείνου συμφοραῖς ἐπικλᾶται. ἢ γοῦν ὁ διὰ Χουσὶ
his misfortunes is-broken or at-any-rate the(-one) through Hushai
τὴν Ἀχιτόβελ ἀκυρώσας βουλήν, καὶ τὰς φρένας ἀλλοιώσας
the Abithophel's having-annulled counsel and the wits having-altered
τοῦ Ἀβεσαλὼμ ὡς τοῖς καθ' ἑαυτοῦ καὶ χείροσιν
— of-Absalom so-that the(-things) against himself and worse
ἐπαγγέλλεσθαι, αὐτὸς καὶ τότε τὸν Περσάρχην ἐξέκρουσε
to-be-announced himself also then the Persian-ruler knocked-off
τοῦ καθήκοντος. παρασυρεὶς γὰρ οὗτος ταῖς
from-the(-thing) fitting swept-along for this(-man) by-the
τῶν μεγιστάνων αὐτοῦ ὑποθημοσύναις, οἵπερ ἀπήντλουν
of-the magnates his suggestions who drew-out
ἀμφοτέραις ἐκ βασιλέως κατὰ τὸν τῆς εἰρήνης καιρὸν τὰ
with-both(-hands) from (the)-emperor in the of-the peace time the
χρήματα, πέμψας πρεσβείαν εἰρηνικὰ διαλέγεται καὶ τὴν
money having-sent (an)-embassy peaceful(-things) discusses and the
συνομολογίαν ὡς πρώην αὖθις ἐπιζητεῖ, προφθάνων οἷον
agreement as formerly again seeks anticipating as-it-were
προαιρετῶς, τοῦ κρείττονος ἐποτρύνοντος, τὸν ἀναγκαστῶς
by-choice the stronger urging the by-necessity
ἐς τὰς συμβάσεις βλέψαντα ἄνακτα. οἱ δὲ δὴ Πέρσαι
to the agreements having-looked lord the and indeed Persians
μήπω τῶν κατὰ σκοπὸν τῷ σουλτάνῳ ἐκφανθέντων
not-yet of-the(-things) according-to aim to-the sultan having-been-shown
ἅμα ἕῳ προσήλαυνον ὡς κυκλωσόμενοι Ῥωμαίους καὶ
at-once with-dawn drove-on as going-to-encircle (the)-Romans and
ὥσπερ ὄψον εὐτρεπὲς καὶ καθ' ὁρμὴν μίαν, οἷα θῆρες,
as relish ready and in rush one as beasts

λαφύξοντες, ἢ ὡς ἐγκαταλελειμμένα ᾠὰ καὶ νοσσιὰν
going-to-gulp-down or as abandoned eggs and (a)-nest
ἐρήμην ἀπάξοντες. περιστείχοντες τοίνυν τὸν χάρακα τοὺς
deserted going-to-carry-off walking-around therefore the palisade the(-ones)
ἐντὸς κατετόξευον, κύκλῳ περιελαύνοντες καὶ βαρβαρικῶς
inside shot-down in-(a)-circle driving-round and barbarously
ἀλαλάζοντες. βασιλεὺς οὖν ἐγκελεύεται Ἰωάννῃ τῷ τοῦ
raising-the-war-cry (the)-emperor then orders John the —
Ἀγγέλου Κωνσταντίνου υἱῷ μετὰ τοῦ συνόντος ἐκείνῳ
of-Angelos Constantine son with the with him
τάγματος τοῖς Πέρσαις προσβαλεῖν· ὁ δὲ κατὰ τὴν
unit the Persians to-attack he and according-to the
βασιλικὴν ἐπιταγὴν ἀναστελεῖν τοὺς Τούρκους πειρᾶται,
imperial order to-check the Turks tries
οὐδὲν δέ τι καὶ δράσας γενναῖον παλίνστροφος γίνεται.
nothing and anything also having-done noble back-turning becomes
ἐκ δὲ τούτου ὁ Μακροδούκας Κωνσταντῖνος τὴν ὑπ᾽
from and this — Makrodoukas Constantine the under
αὐτὸν ἐξάγει στρατιὰν ἐκ τῶν ἑῴων στρατολογουμένην
him leads-out army from the eastern levied
ταγμάτων· ἀλλὰ καὶ οὗτος μικρόν τι φανεὶς
units but also this(-one) little something having-appeared
ὑπενόστησεν. ὁ δέ γε σουλτάνος πέμπει πρὸς βασιλέα
went-back the and at-least sultan sends to (the)-emperor
Γαβρᾶν τὰ πρῶτα τῶν παρ᾽ αὐτῷ καὶ τετιμημένον τὰ
Gabras the first of-the(-ones) with him and honored the
μέγιστα· τὸ δ᾽ ἀπὸ τοῦδε οἵ τε Τοῦρκοι ἐκ παραγγελίας
greatest the(-time) and from this the both Turks from (an)-order
τοῦ προσβάλλειν περιστάδην ἀπέστησαν καὶ Ῥωμαῖοι
from-the attacking round-about stood-off and (the)-Romans
τοῦ ὑπεξέρχεσθαι λήγουσιν. ὀφθῆναι δὲ τῷ βασιλεῖ
from-the slipping-away cease to-be-seen and to-the emperor

μέλλων Γαβρᾶς βαθεῖαν καὶ βαρβαρικὴν ἀπονέμει τιμὴν
about Gabras deep and barbaric assigns honor
καὶ προσκύνησιν, καὶ ἅμα ἵππον προσάγει δῶρον Νισαῖον
and obeisance and at-once (a)-horse brings (as)-gift Nisaean
ἀργυροχάλινον, ἐκ τῶν φατνιζομένων εἰς πομπάς, καὶ
silver-bridled from the(-ones) stall-kept for processions and
περιμήκη ἀμφήκη μάχαιραν, καὶ λόγον κινεῖ περὶ σπονδῶν,
(a)-very-long two-edged sword and word moves about treaties
διομαλίσας πρότερον λύγοις ἁπαλοῖς τὴν ἐπὶ τοῖς συμβᾶσιν
having-smoothed first with-withies soft the at the events
ὑπεμφαινομένην ἀχθηδόνα τοῦ βασιλέως, καὶ καταστείλας
showing vexation of-the emperor and having-calmed
τὸ τοῦ πάθους φλεγμαῖνον οἷά τισιν ἐπᾴσμασιν, οἷς
the of-the passion inflamed(-part) as with-some incantations which
πρὸς τὸ οὖς ἐκείνῳ ὑπεψιθύρισε ῥήμασι. θεασάμενος δὲ
to the ear to-him he-whispered words having-seen and
Γαβρᾶς ἣν εἶχε στολάδα ἐπὶ τοῦ θώρακος βασιλεύς, τὴν
Gabras what he-had (a)-garment on the breastplate (the)-emperor in-the
χροιὰν χολοβάφινον, „οὐκ εὐσύμβολον τὸ χρῶμα τοῦτό"
color gall-dyed not well-omened the color this
φησιν, „ὦ βασιλεῦ, ἀλλὰ καὶ λίαν κατὰ τὴν ὥραν τοῦ
he-says O emperor but also very at the hour of-the
πολέμου ταῖς ἀγαθαῖς τύχαις ἀντιπρᾶττον." αὐτὸς δ' ἐπὶ
war to-the good fortunes working-against himself and at
τοῖς εἰρημένοις τούτοις βραχύ τι καὶ βεβιασμένον
the(-things) said these little something and forced
μειδιάσας, τὴν ἐπιθωράκιον στολὴν ἀποδὺς ἐκείνῳ
having-smiled the breastplate garment having-stripped-off to-him
δίδωσι πορφύρᾳ καὶ χρυσῷ διηνθισμένην. τὸν δ' ἵππον
gives with-purple and gold flowered the and horse
καὶ τὸ ξίφος δεξάμενος ἐγγράφους τίθεται τὰς σπονδάς,
and the sword having-received in-writing puts the treaties

καὶ τὴν χεῖρα τούτοις βραβεύει. ἐνῆν δὲ τῷ γραμματίῳ
and the hand to-these arbitrates was-in and in-the little-document
καὶ ἄλλα μὲν ὅσα ὁ καιρὸς ἐπέταττε κατὰ μηδὲν
also other(-things) indeed as-many-as the time ordered in nothing
ἀκριβολογούμενος, ἀλλὰ δὴ καὶ τὸ καταστραφῆναι τὰ
being-exact but indeed also the to-be-demolished the
φρούρια τό τε Δορύλαιον καὶ τὸ Σούβλεον.
forts — both Dorylaion and — Soublaion
Οὕτως οὖν εὑρηκὼς τὸν βάρβαρον τὰ πρὸς εἰρήνην
thus then having-found the barbarian the(-things) for peace
ἀληθῶς λαλήσαντα καὶ μὴ ἐπ᾽ ὀργὴν δόλους διαλογιζόμενον,
truly having-spoken and not for anger tricks devising
αἱρεῖται δι᾽ ἄλλης ὁδοῦ πορευθῆναι καὶ μὴ τὴν αὐτὴν
he-chooses through another road to-go and not the same
ἀναμετρήσειν αὖθις ἣν ἐβάδισε πρότερον, ἐκκλῖναι τοὺς
to-measure-back again which he-had-gone before to-avoid the
πεσόντας βουλόμενος. οἱ δὲ τῆς ὁδοῦ ἡγεμόνες κατ᾽ αὐτὸ
fallen wishing the and of-the road guides for this
τοῦτο μᾶλλον ἐπὶ τὴν ἐκεῖσε προῆγον, ἵν᾽ ὀφθαλμοῖς
very rather to the there led so-that with-eyes
οἰκείοις ἐπόψοιτο βασιλεὺς τὰ οἰκτρότατα ἐκεῖνα θεάματα.
own might-look-upon (the)-emperor the most-pitiable those sights
καὶ γὰρ ἦν ἀληθῶς δακρύων ἄξια τὰ ὁρώμενα, ἢ
and for was truly of-tears worthy the(-things) seen or
ἀληθέστερον εἰπεῖν μείζω τοῦ ἀνακλαυσθῆναι διὰ τὸ
more-truly to-say greater than-the to-be-wept-for because-of the
τοῦ κακοῦ μέγεθος. αἵ τε γὰρ φάραγγες εἰς ἰσόπεδον
of-the evil greatness the both for ravines to (a)-level
ἀνέβαινον, καὶ αἱ κοιλάδες εἰς κολωνοὺς ἀνηγείροντο, καὶ
rose and the valleys into mounds were-raised and
τὰ ἄλση τοῖς θνησιμαίοις ἐκεκάλυπτο. ἅπας δὲ κείμενος
the groves with-the dead had-been-covered every and lying(-man)

ἀποσυρεὶς ἦν τὸ δέρμα τῆς κεφαλῆς, πολλοὶ δὲ καὶ τοὺς
stripped was (of)-the skin of-the head many and also (of)-the
ἰθυφάλλους ἀπεκαυλίσθησαν. ἐλέγετο δὲ τοὺς Πέρσας τοῦτο
genitals were-cut-off was-said and the Persians this
τεχνάσασθαι, ἵνα μὴ τοῦ ἀκροβύστου ὁ ἐμπερίτομος
to-have-contrived that not from-the uncircumcised the circumcised
διαστέλλοιτο καὶ ἡ νίκη οὕτως εἴη ἀμφιπαλὴς
might-be-distinguished and the victory thus might-be doubtful
καὶ ἀμφήριστος, ὡς ἐξ ἑκατέρων τῶν στρατοπέδων
and disputed as from both the armies
καταβληθέντων πολλῶν. οὐδεὶς τοίνυν χωρὶς δακρύων καὶ
having-been-thrown-down many no-one therefore without tears and
στεναγμῶν ἀντιπαρῆλθεν, ἀλλὰ μέγα πάντες ἀνέκλαυσαν καὶ
groans passed-by but greatly all wept and
ὀνομαστὶ τοὺς ἀπολωλότας ἑταίρους καὶ συνήθεις ἐκάλεσαν.
by-name the lost companions and familiars called
Ἀλλ' ἐνταῦθα τοῦ λόγου γενόμενος ἐκεῖνο ἔχω εἰπεῖν, ὡς
but here of-the narrative having-come that I-have to-say that
δυσφύλακτον τὸ μέλλον τοῖς ἀνθρώποις ἡμῖν, καὶ οὐκ ἄν
hard-to-guard-against (is)-the future to-the men us and not —
τις ῥᾳδίως ἐξαναλύξῃ τὸ ἐπιόν, εἰ μή τῳ τὸ θεῖον
anyone easily may-escape the(-thing) coming if not for-someone the divine
ἐκ λιπαρίας ἱλεωθὲν ἀπώσαιτο τὰ δεινὰ ἢ ἐκ τούτου εἰς
from importunity propitiated should-push-away the terrors or from this to
τοῦτο μετακλινεῖ, καταμιγνύον τὸ τῆς κινήσεως ἀκραιφνὲς
that will-incline mixing-down the of-the movement unmixed
καὶ τῷ φιλανθρώπῳ καπηλεῦον τὸ ἄκρατον. βασιλεὺς
and with-the humane adulterating the undiluted (the)-emperor
γὰρ ἡνίκα ἦν κατὰ Περσῶν ἐκστρατεύειν προθέμενος,
for when he-was against Persians to-campaign having-purposed
ἐδόκει καθ' ὕπνους ὁρᾶν ὡς εἰς στρατηγίδα νῆα ἐμβὰς
seemed in sleeps to-see that into (a)-general's ship having-embarked

αὐτός τε καὶ συχνοὶ τῶν ἐπιτηδείων τὴν Προποντίδα
himself both and many of-the intimates the Propontis
ἀνελέγετο, αἴφνης δὲ συμπεσεῖν τὰ ἐξ Εὐρώπης καὶ Ἀσίας
was-coasting suddenly and to-clash the from Europe and Asia
ὄρη, ὡς ἀφανισθῆναι μὲν τῆς νηὸς θραυσθείσης
mountains so-that to-vanish indeed the ship having-been-shattered
τὸ ἐμπλέον ἅπαν, αὐτὸν δὲ μόλις ἐκδοθῆναι τῇ χέρσῳ
the(-crew) sailing-in all him and barely to-be-delivered to-the dry-land
ταῖς χερσὶ νηχόμενον. καθ' ἣν δὲ ἡμέραν τῶν ἐπισφαλῶν
with-the hands swimming on which and day the precarious
ἐκείνων ἐπέβαινε τρίβων, ἀνήρ τις προσελθὼν αὐτῷ
those he-entered paths man some having-approached him
δίγλωττος, τὸ γένος Ῥωμαῖος, τοὐπίκλην Μαυρόπουλος,
bilingual in-the race Roman by-surname Mavropoulos
δόξαι οἱ ἔφατο κατ' ὄναρ τὸν ἐκ τοῦ Κύρου παρώνυμον
to-seem to-him he-said in (a)-dream the from — Kyros named
ναὸν εἰσελθεῖν, ἐν δὲ τῷ ἱλεοῦσθαί οἱ τὴν εἰκόνα
church to-enter in and the to-propitiate to-him the icon
τῆς θεομήτορος φωνὴν ἐξικνουμένην ἐκεῖθεν ἐνωτισθῆναι,
of-the Mother-of-God (a)-voice reaching thence to-hear
λέγουσαν ὡς „ἀρτίως ἐν μεγίστοις μάλιστα κινδύνοις ὁ
saying that just-now in greatest especially dangers (is)-the
βασιλεύς, καὶ τίς ἀπελεύσεταί μοι τούτῳ συνέριθος;"
emperor and who will-go-away for-me for-this-one (as)-helper
εἰρηκότος δέ τινος ἀοράτως „ἀπελθέτω Γεώργιος" „νωθὴς
having-said and someone invisibly let-go George sluggish
οὗτος" εἰπεῖν, κἀκείνου δὲ πάλιν ἐπενεγκόντος „ἀπίτω
this(-one) to-say and-that(-one) and again having-added let-go
Θεόδωρος" καὶ πρὸς τοῦτον ἀπανήνασθαι, τέλος δὲ
Theodore also to this(-one) to-refuse (at-the)-end and

μετὰ περιαλγείας φθέγξασθαι ὡς οὐδεὶς προφθάσει τὸ
with grief to-utter that nobody will-anticipate the
φυόμενον ἐκείνῳ κακόν. καὶ ταῦτα μὲν οὕτω.
growing for-him evil and these(-things) indeed thus

VI · THE RETURN AND THE RAIDS

The Turks harass the retreating army. Manuel's messengers to the City liken him to Romanos Diogenes and boast of the treaty; he demolishes Soublaion but not Dorylaion, quoting the Pythia's line that death awaits the oath-keeper too and leaving out the lines on perjury's punishment. The sultan sends Atapakos with twenty-four thousand men to raid the Maeander valley and the coast, taking Tralleis and other towns.

Μετὰ δὲ τὸ ὑποκαταβῆναι τὰς δυσχωρίας ἐνέκειντο
after and the to-come-down-from the rough-places pressed
καὶ πάλιν οἱ Πέρσαι Ῥωμαίοις ἐκ τῶν ὄπισθεν
also again the Persians on-(the)-Romans from the rear
ἐπιφαινόμενοι· μεταμέλῳ γὰρ ἐλέγετο πληγῆναι τὸν
appearing by-repentance for was-said to-have-been-struck the
Πέρσην ὅτι τὸ ἐν χερσὶ παρῆκε θήραμα, κἀντεῦθεν
Persian that the in hands he-let-go prey and-from-here
ἐνδοῦναι τοῖς οἰκείοις ἐκεῖνα ἐπιοῦσιν ἐνδείκνυσθαι
to-have-allowed to-the own(-men) those(-things) attacking to-show
ὅσα καὶ πρὸ τῶν σπονδῶν ἐξῆν διαπράττεσθαι. οὐ
as-many-as also before the treaties was-possible to-do not
πανσυδὶ δὲ καὶ ὡς ἡνίκα τὰ δυσέμβολα χωρία Ῥωμαῖοι
with-all-their-force and and as when the hard-to-invade places (the)-Romans
διήρχοντο, οἱ Τοῦρκοι παρείποντο, ἀλλὰ κατὰ διαλειπούσας
went-through the Turks followed but by intermittent
συμμορίας ἐπηκολούθουν· οἱ γὰρ κράτιστοι καὶ πλεῖστοι
companies they-followed the for strongest and most

ταῖς τῶν σκύλων ὠφελείαις ἔμφορτοι γενόμενοι τῆς
with-the of-the spoils gains laden having-become the(-road)
οἴκαδε φερούσης ἥψαντο. πλὴν καὶ οἱ παρεπόμενοι
homeward leading touched however also the(-ones) following
ἐκεῖνοι πολλοὺς διέφθειρον, καὶ τούτους μάλιστα ὁπόσοι
those many destroyed and these especially as-many-as
τραυματίαι τε καὶ ἀπόμαχοι, καίπερ τοῦ βασιλέως τοὺς
wounded both and unfit-for-war although the emperor the
πολεμικοὺς τῶν ἡγεμόνων καὶ δραστηρίους οὐραγεῖν
war-like of-the commanders and energetic to-guard-the-rear
ἐπιτάξαντος. ὡς δὲ κατὰ τὰς Χώνας παρεγένοντο, ἄσμενοι
having-ordered as and at — Chonai they-arrived gladly
ἐκεῖσε τὸ γόνυ ἔκαμψαν, ὡς οὐκέτι τοὺς πολεμίους
there the knee bent as no-longer the enemies
ὀψόμενοι. βασιλεῖ δὲ καὶ τούτου ἐμέλησεν, ἑκάστῳ
going-to-see to-(the)-emperor and also this was-a-care to-each
καχεκτοῦντι στατῆρα διαδοῦναι ἀργύρεον, νοσοκομίας
being-in-ill-health (a)-stater to-distribute silver of-nursing
ἐφόδιον πρόσκαιρον. καταβὰς δὲ εἰς Φιλαδέλφειαν
(a)-provision temporary having-gone-down and to Philadelphia
ἡμέρας τινὰς ἐκεῖσε διέτριψε, τὴν τοῦ σώματος διάθεσιν
days some there he-spent the of-the body condition
ἀνακτώμενος, καθῃρημένην οἷς ἐπεπόνθει κατὰ τὸν
recovering reduced by-what he-had-suffered in the
πόλεμον. προεκπέμψας δ' ἀγγέλους τὰ συμβεβηκότα ταῦτα
war having-sent-ahead and messengers the events these
τοῖς Κωνσταντινουπολίταις παρίστα, νῦν μὲν ταυτοπαθῆ
to-the Constantinopolitans presented now indeed of-the-same-experience
πως ἑαυτὸν Ῥωμανῷ τῷ Διογένει κατονομάζων, ἐπεὶ
somehow himself with-Romanos the Diogenes naming since
καὶ οὗτος ὁ βασιλεὺς κατὰ τῶν Τούρκων ἐξενεγκών
also this the emperor against the Turks having-brought-out

ποτε πόλεμον τό τε πολὺ τῆς στρατιᾶς ἀπεβάλετο
once war the both greater-part of-the army lost
καὶ αὐτὸς συλληφθεὶς ἀπήχθη αἰχμάλωτος, νῦν δὲ τὰς
and himself having-been-seized was-led-away (a)-captive now and the
μετὰ τοῦ σουλτάνου σπονδὰς ὑπεξαίρων, καὶ κάτωθεν
with the sultan treaties exalting and from-below
τῆς ἑαυτοῦ σημαίας μεγαλορρημονῶν αὐτὰς περατῶσαι,
the his-own banner boasting them to-have-concluded
ἀνέμῳ ἀναπεπταμένης καὶ πρὸς τὸ τῶν ἀντιπάλων
by-(the)-wind spread and toward the of-the opponents
ἀφορώσης μέτωπον ὡς φόβον ἀντιπίπτειν καὶ τρόμον
looking front so-that fear to-fall-against and trembling
αὐτοῖς. οὐ μὴν ἀλλὰ τὸ μὲν Σούβλεον ἐπιπαριὼν
on-them not indeed but — indeed Soublaion passing-by
κατὰ τὸ σουλτάνῳ δοκοῦν αὐτὸς καθαιρεῖ, τὸ δέ γε
according-to the to-(the)-sultan seeming himself demolishes — and at-least
Δορύλαιον οὐδαμοῦ. ὅθεν στείλας ὁ σουλτάνος πρεσβείαν
Dorylaion nowhere whence having-sent the sultan (an)-embassy
τῶν τε συνθηκῶν αὐτὸν ἀνεμίμνησκε, καὶ θαυμάζειν
of-the both covenants him reminded and to-wonder
ἔλεγεν ὅπως μὴ ἐς δεῦρο καθῄρηται τὸ Δορύλαιον. ὁ
said how not to here has-been-demolished — Dorylaion he
δὲ ὀλίγα τοῖς κατ᾽ ἀνάγκην γενομένοις τὸν νοῦν
and little to-the(-things) by necessity having-happened the mind
προσέχειν εἰπών, κατεδαφίσαι δὴ τὸ Δορύλαιον οὐδ᾽
to-attend having-said to-raze indeed — Dorylaion not-even
ἄκροις ὠσὶ παρεδέχετο, ἐκεῖνο ἀτεχνῶς τῶν τῆς Πυθίας
with-tips-of ears received that simply of-the of-the Pythia
πρὸς τὸν Ἐπικυδίδην ἐπῶν ἀποτεμόμενος καὶ αἰνέσας
to — son-of-Epikydes verses having-cut-off and having-approved
„ὄμνυ, ἐπεὶ θάνατός γε καὶ εὔορκον μένει ἄνδρα,"
swear since death at-least also (the)-oath-keeping awaits man

τὰ δὲ ἐφεξῆς, ἅ φασιν οὕτω, παρεπισχών, „ἀλλ'
the and following(-verses) which they-say thus having-held-back but
ὅρκου παῖς ἐστὶν ἀνώνυμος· οὐδ' ἔπι χεῖρες οὐδὲ πόδες,
of-Oath (a)-child is nameless nor on(-it) hands nor feet
κραιπνὸς δὲ μετέρχεται, εἰσόκε πᾶσαν συμμάρψας ὀλέσῃ
swift and pursues until whole having-seized he-destroys
γενεὴν καὶ οἶκον ἅπαντα. ἀνδρὸς δ' εὐόρκου γενεὴ
(the)-race and house all of-(a)-man and oath-keeping (the)-race
μετόπισθεν ἀμείνων," ὁ δέ γε Πέρσης μοῖραν ἀπόλεκτον
afterward (is)-better the and at-least Persian (a)-part picked
τῆς ὅλης αὐτοῦ στρατιᾶς ἀποδιελών, εἰς χιλιάδας εἴκοσι
of-the whole his army having-separated to thousands twenty
πρὸς ταῖς τέσσαρσι μετρουμένην, καὶ στρατηγὸν αὐτῇ
besides the four measured and (a)-general over-it
τὸν Ἀτάπακον ἐπιστήσας πέμπει τὰς ἄχρι θαλάττης
— Atapakos having-set sends the to (the)-sea
πόλεις καὶ χώρας πορθήσοντα, φείσασθαι μηδαμῇ μηδεμιᾶς
cities and lands going-to-sack to-spare in-no-way none
ἐπισκήψας, ἀποκομίσαι τε αὐτῷ ὕδωρ θαλάττιον καὶ
having-enjoined to-bring both to-him water of-the-sea and
κώπην καὶ ψάμαθον. ὁ δὲ τὰ ἐπιτεταγμένα διδοὺς
(an)-oar and sand he and the(-things) ordered giving
πέρατι, τὰς Μαιανδρικὰς ἐπιὼν πόλεις ἐδήου οἰκτρῶς,
to-end the Maeandrian attacking cities ravaged pitiably
ἐσβολὰς ἀκηρύκτους καὶ ἐφόδους ἀπροόπτους τιθέμενος.
invasions undeclared and attacks unforeseen making
παρεστήσατο δὲ καὶ τὰς Τράλλεις τὴν πόλιν καὶ τὴν κατὰ
won-over and also — Tralleis the city and the in
Φρυγίαν Ἀντιόχειαν, τὰ Λοῦμά τε καὶ τὸν Πεντάχειρα καὶ
Phrygia Antioch — Louma both and — Pentacheir and

ἕτερ᾽ ἄττα ἐρύματα κατάκρας ἑλὼν ἐσκύλευσεν. ὁδῷ
other some fortifications utterly having-taken plundered on-(the)-road
δὲ προϊὼν καὶ τὰς παραθαλαττιδίους ἐλυμήνατο χώρας.
and advancing also the seaside ruined lands

VII · THE TURKISH DEFEAT ON THE MAEANDER

Manuel sends John Vatatzes, Constantine Doukas, and Michael Aspietes against Atapakos. They ambush the Turks at the crossing of the Maeander; the Turks are drowned or slain, and Atapakos is killed by an Alan. Aspietes is killed when his horse, struck in the face, throws him into the river.

Βασιλεὺς δὲ ταῦτα ἐνωτισάμενος ἄλλαις τε πλείσταις
(the)-emperor and these(-things) having-heard other both very-many
μεθόδοις ἐχρήσατο καὶ δὴ καὶ τῷ μὴ ἐπὶ βυκάναις
methods used and indeed also the not with horns
καὶ σάλπιγγι τῆς σκηνῆς προϊέναι, „οὐ χρεία" λέγων
and trumpet from-the tent to-go-forth not (is)-need saying
„τοιούτων ἄρτι τινῶν, ἀλλὰ τόξων καὶ δοράτων, ἵνα τοὺς
of-such now some but of-bows and spears that the(-ones)
μισοῦντας ἡμᾶς, οἳ (κατὰ Δαβὶδ εἰπεῖν) ἤχησαν καὶ ἦραν
hating us who as David to-say roared and raised
κεφαλάς, τῶν Ῥωμαϊκῶν ἀποπεμψώμεθα χωρῶν." καὶ
heads from-the Roman we-may-send-away lands and
αὐτὸς μὲν τὴν εἰς τοὺς πολεμίους ἀπᾶραι οὐδαμῶς
himself indeed the(-march) against the enemies to-set-out in-no-way
ἐδικαίωσε, στέλλει δὲ τὸν ἀνεψιὸν Ἰωάννην τὸν Βατάτζην,
deemed-right sends and the nephew John the Vatatzes
τῷ δραστηρίῳ ἐν δέοντι χρώμενον, καὶ τὸν δούκαν
the energy in need using and — Doukas
Κωνσταντῖνον, νεανίαν ἄρτι ὑπηνήτην καὶ κατὰ τῶν φυτῶν
Constantine (a)-youth just with-first-beard and like the plants

τὰ εὐγενῆ καρπογονεῖν πρὸ ὥρας ἐπαγγελλόμενον, ἔτι
the noble to-bear-fruit before (the)-season promising still
δὲ τὸν Ἀσπιέτην Μιχαήλ, πολλὰ παραινέσας αὐτοῖς σὺν
and — Aspietes Michael much having-exhorted them with
εὐβουλίᾳ καὶ τάξει τὸ πραχθησόμενον ἅπαν ποιεῖν, πρὸ δὲ
good-counsel and order the to-be-done all to-do before and
τούτων μὴ προσπελάσαι παντάπασι τοῖς βαρβάροις, εἰ μὴ
these not to-approach at-all the barbarians if not
πείρᾳ γνοῖεν ἀκριβεῖ πρότερον ὁπόσοι εἶεν τὸ
by-experience they-should-know exact first how-many they-were in-the
πλῆθος καὶ ὡς νικῷεν αὐτοὺς μαχεσάμενοι. καὶ Πέρσαι
number and that they-would-conquer them having-fought and Persians
μὲν πέρας τῆς ἐφόδου τὴν θάλατταν θέμενοι μετὰ πλείστης
indeed (as)-end of-the attack the sea having-set with very-much
ὅτι λείας ἀνέλυον, κἀκεῖνα κείροντες οἷς κατὰ τὴν κάθοδον
as booty returned also-those ravaging which on the descent
οὐ προσέβαλον· οἱ δ' ἀμφὶ τὸν Βατάτζην τὰς δυνάμεις
not they-had-attacked they and around — Vatatzes the forces
ἀναλαβόντες, ὅσαις τε αὐτοὺς ὁ βασιλεὺς ἐφωδίασε καὶ
having-taken-up as-many-as both them the emperor supplied and
ὅσαι κατὰ πάροδον ξυνελόγησαν, ἤλαυνον εὐθὺ τοῦ
as-many-as along (the)-way they-collected drove straight-to —
Ὑελίου καὶ τοῦ Λειμμόχειρος τῶν πολιχνίων, καθ' ὃ περὶ
Hyelion and — Leimmocheir the townlets at which about
ποταμῷ τῷ Μαιάνδρῳ πάλαι ποτὲ γέφυρα περιήγετο.
(the)-river the Maeander of-old once (a)-bridge was-carried-round
ἐπεὶ δὲ οἱ σκοποί, οὓς ἄρα ὁ Βατάτζης κατέστησε κατὰ
when and the scouts whom then — Vatatzes had-set on
πάσας τὰς ὁποιοῦν φερούσας ὁδούς, ἀπήγγελλον τὴν
all the whichever-way leading roads announced the
τῶν Τούρκων ἀνάζευξιν καὶ ὡς οὐ πρόσω ἤδη εἰσὶν
of-the Turks return and that not far already they-are

ἐφορμῶντες, εἰς δύο ἀποτμηματίσας τὴν στρατιὰν τὸ μὲν
pressing-on into two having-cut the army the indeed
πλέον ταύτης εἰς λόχους καθίστησι κατὰ τὰς ὁδοὺς ἃς
greater-part of-it into ambushes sets along the roads which
ἤμελλε τέμνειν τὸ πολέμιον, τὸ δὲ λοιπὸν ἐς τὰς μετὰ
was-about to-cut the enemy the and rest to the after
τὴν παλαιὰν γέφυραν ἐκβάσεις τοῦ ποταμοῦ διασπείρας
the old bridge outlets of-the river having-scattered
προσμένειν ἐκέλευε μερίδος τινὸς ἀπὸ τῶν Τούρκων μετὰ
to-await he-ordered of-(a)-part some of the Turks with
τῆς αἰχμαλωσίας περαίωσιν, καὶ τηνικαῦτα μηδ' ὅλως
the captivity crossing and then not-even at-all
κατορρωδεῖν ἀλλὰ θαρραλέως προσυπαντᾶν. καὶ ὁ μέν,
to-dread but boldly to-meet and he indeed
ὡς ἄμεινόν οἱ δέδοκτο, οὕτω δὴ τὸ οἰκεῖον διεσκεύασε
as better to-him it-had-seemed thus indeed the own arranged
στράτευμα· οἱ δὲ Τοῦρκοι ὡς εἴχοντο τοῦ διαβαίνειν,
army the and Turks as they-held-to the crossing
ἐξ ὑπερδεξίων βαλλόμενοι εἰς τὸν ποταμὸν συνωθοῦντο
from higher-ground being-struck into the river were-thrust
καὶ ἀπεπνίγοντο. ὁ δέ γε Ἀτάπακας μετὰ τῶν ἀμφ'
and were-drowned — and at-least Atapakos with the(-men) around
αὐτὸν εὐοπλοτάτων εἰς λόχον συσπειραθεὶς καὶ συστραφεὶς
him best-armed into (a)-body having-gathered and having-rallied
ἀγχωμάλως Ῥωμαίοις συμπλέκεται, καὶ τὸ ἀντίμαχον
evenly with-(the)-Romans grapples and the opposing(-side)
ἐντεῦθεν κακῶσαι βουλόμενος καὶ τοῖς ὁμογενέσιν ἐκεχειρίαν
thence to-harm wishing and to-the kinsmen respite
διδόναι τῆς τοῦ ποταμοῦ περαιώσεως, ὡς μὴ φθάνειν
to-give of-the of-the river crossing so-that not to-anticipate
ἑκάστου προθυμουμένου βραδεῖα μὲν ἡ διάβασις γίνοιτο,
each being-eager slow indeed the crossing might-be

δεινὴ δὲ ἡ τῶν σφαλλομένων ἀπώλεια. ἐφ᾽ ἱκανὸν
terrible and the of-the(-ones) stumbling destruction for sufficient(-time)
μὲν οὖν ἀντισχὼν ἐκθύμως ἐμάχετο, ἀνδρείου φρονήματος
indeed then having-held-out furiously he-fought of-manly spirit
καὶ χειρὸς γενναιοτάτης ἔργα δεικνύς. ὡς δὲ μάθοι καὶ
and of-hand most-noble deeds showing as and he-learned also
κατὰ τὴν περαίαν τοῦ ποταμοῦ Ῥωμαίους ἐφεστάναι καὶ
on the opposite-bank of-the river (the)-Romans to-stand and
ἀναιρεῖν τὸ διαβαῖνον τοῦ Περσικοῦ στρατεύματος,
to-kill the(-part) crossing of-the Persian army
κατακλᾶται τὸ πρόθυμον, καὶ τοῦ ἀκμαίου ἐκείνου
is-broken the eagerness and from-the vigorous that
μεθαρμοσθεὶς λήματος τὴν σωτηρίαν ἑαυτῷ διατίθησι,
having-been-changed spirit the safety for-himself arranges
καὶ δὴ τὴν προκειμένην παραλλάξας πορείαν ἀνωτέρω
and indeed the lying-before having-changed march higher-up
μεταχωρεῖ, ἀναδιφῶν ἑτέραν περαίωσιν. ὡς δὲ ἄπορος ἦν
he-moves searching-for another crossing as and impassable was
ὁ ποταμὸς πανταχόθεν, τοὺς ἐπιδιώκοντας δεδιώς, τὴν
the river everywhere the pursuers fearing the
ἀσπίδα ὑποθεὶς τῷ ὕδατι ὡς κελητίῳ ταύτῃ ἐχρῆτο,
shield having-put-under to-the water as (a)-skiff this he-used
ἀρίστως ἀντικαταστὰς τῷ τῆς ἀνάγκης ὀξεῖ. καὶ τοίνυν
excellently having-stood-against the of-the necessity sharpness and therefore
τῇ μὲν λαιᾷ τὸν ἵππον κατέχων παρανηχόμενον, τῇ
with-the indeed left(-hand) the horse holding swimming-alongside with-the
δεξιᾷ δὲ τὴν σπάθην γυμνὴν δεδωκώς, καὶ προσποιῶν
right and the sword bare having-given and making
ἐν τῷ παραυτίκα ταύτην εἰς οἴακα, ἐσάλευεν οὕτω κατὰ
on the instant it into (a)-rudder he-swayed(-it) thus by
βραχὺ τοῦ ποταμοῦ διαπλέων τὸ πέλαγος. οὐ μὴν ἐς τέλος
little of-the river sailing-across the sea not indeed to (the)-end

ἐξέπλευσε τὸ θανεῖν. εἰς γὰρ τὸ ἀντιπέραν ἤδη γενόμενος
he-sailed-out-of the dying to for the opposite(-bank) already having-come
ἐπί τι γήλοφον ἄνεισιν, ἑαυτὸν ὅστις ἐστὶν εὐφημῶν καὶ
onto some hillock he-goes-up himself who he-is proclaiming and
μεγάλης γλώττης κόμπῳ χρώμενος, ὅπως συναχθῶσι καὶ
of-great tongue boast using so-that might-be-gathered also
ἕτεροι Τοῦρκοι μετ' αὐτοῦ· οὐδενὸς δὲ τῶν ἐπισήμων καὶ
other Turks with him nobody and of-the notable and
αὐτὸν εἰδότων Ῥωμαίων προσπελάσαντος, ἀλλά τινος τῶν
him knowing Romans having-approached but some of-the
ἐπικούρων Ἀλανῶν ἐπιδραμόντος ὅπου τὴν καινὴν εἰρεσίαν
auxiliary Alans having-run-up where the new rowing
σχάζειν ἔμελλεν, ἀναιρεῖται ἀμφιστόμῳ κνώδοντι. ἐκ δὲ
to-rest he-was-about is-killed by-two-edged sword from and
τούτου ἀκόσμως τε Πέρσης ἕκαστος ἀπεδίδρασκε καὶ
this disorderly both Persian each ran-away and
Μαίανδρος τοὺς πλείονας εἰσεδέχετο, ὡς βραχεῖς ἐκ
(the)-Maeander the more received so-that few out-of
τῶν τοσούτων χιλιάδων διασωθῆναι. καὶ τοῦτο τὸ ἔργον,
the so-many thousands to-be-saved and this the deed
εἴπερ τι ἄλλο, ἀνέρρωσε μὲν τὰ Ῥωμαίων πράγματα,
if anything else strengthened indeed the of-(the)-Romans affairs
καθεῖλε δὲ τὰ Περσῶν φρυάγματα· ὡς γὰρ οὐ δεξομένων
pulled-down and the of-Persians snortings as for not going-to-receive
σφᾶς τῶν Ῥωμαίων γεγηθότες ἐπῄεσαν, καὶ ὡς πᾶσαν
them the Romans rejoicing they-came-on and as all
ἀφανίσοντες μικροῦ τὴν Φρυγίαν καὶ φθεροῦντες ὁπόσην
going-to-destroy by-little — Phrygia and going-to-ravage as-much-as
ἔπεισι Μαίανδρος ἀγκυλορρόας, ἐσβάλλων εἰς θάλασσαν.
comes-to (the)-Maeander crooked-flowing emptying into (the)-sea
πίπτει δὲ κατὰ τοῦτον τὸν πόλεμον Ἀσπιέτης ἐξ αἰτίας
falls and in this the war Aspietes from cause

τοιᾶσδε. Πέρσης ἀντικαταστὰς Ἀσπιέτῃ, πλήττειν οὐκ
such (a)-Persian having-stood-against Aspietes to-strike not
ἔχων κατὰ τοῦ σώματος (τὰ γὰρ ὅπλα ἦν ἰσχυρὰ καὶ
being-able on the body the for arms were strong and
ἡ ἀσπὶς ἐς πόδας καθήκουσα) ἐπὶ τὸν ἵππον ᾧ ἦν
the shield to (the)-feet reaching on the horse on-which was
Ἀσπιέτης ἔποχος θυμῷ φέρεται· καὶ δὴ ὡς ἐπλήγη
Aspietes mounted with-wrath rushes and indeed as it-was-struck
καιρίαν κατὰ τῶν προσώπων ὁ ἵππος, εἰς τοὐπίσω
(a)-mortal(-blow) on the face the horse to the-back
τε ἀναχάζεται, καὶ τοὺς πρόσθεν πόδας μετεωρίσας
both shies and the front feet having-raised
ἐπικαταβάλλει τὸν ἀναβάτην εἰς τὸν ποταμόν.
throws-down the rider into the river

VIII · THE LAST CAMPAIGNS

Manuel attacks the Turks at Lakerion and Panasion; Andronikos Angelos flees from the Turks at Charax, and only Manuel's love for his family saves him from disgrace. Niketas' kinsman, a deacon of Chonai, carries his booty calmly through the rout. Manuel rides by night through Bithynia to relieve Klaudioupolis, sleeping on the ground, and the Turks flee.

Ἐπὶ δὲ τῷδε τῷ ἔργῳ καὶ ἕτερον ὁ βασιλεὺς ἀνύσαι
on and this the deed also another the emperor to-accomplish
προθέμενος, ἔξεισι κατὰ μέρος κατὰ τῶν ἐν Λακερίῳ καὶ
having-purposed goes-out in turn against the in Lakerion and
Πανασίῳ κατασκηνούντων Περσῶν. καὶ δὴ ἀναστήσας
Panasion encamping Persians and indeed having-dislodged
τοὺς κατὰ τὸ Πανάσιον, τοὺς ἐν Λακερίῳ μέτεισιν
the(-ones) at — Panasion the(-ones) in Lakerion pursues

ἔπειτα. πρὸ δὲ τοῦ τῶν χώρων ἐντὸς γενέσθαι καθ'
then before and the the places within to-come in
οὓς ηὐλίζοντο οἱ πολέμιοι, στέλλει τὸν Λαοδικέα Κατίδην
which encamped the enemies he-sends the Laodikeian Katides
ἐν οἷς ἐστὶ τὰ τῶν Τούρκων κατασκεψόμενον
in what-things are the(-things) of-the Turks going-to-spy-out
καὶ τάχος ἐκείνῳ ἀπαγγελοῦντα τὸ ὁραθέν. ὁ δὲ
and quickly to-him going-to-report the(-thing) seen he and
διασοβεῖ τοὺς Πέρσας, ἐς οὓς ἐξώρμα ὁ βασιλεὺς ὡς εἰς
scares the Persians at whom rushed the emperor as to
λείαν ἑτοίμην καὶ ὅτι ἐγγύτατον θήραμα, καὶ τὴν αὐτοῦ
booty ready and as nearest prey and the his
παρουσίαν δήλην ἐκείνοις τίθησι, διαθροῆσαι θέλων τοὺς
presence plain to-them makes to-alarm wishing the
Πέρσας τῷ βασιλέως ὀνόματι. καὶ τῷ μὲν χαλεπήνας
Persians by-the emperor's name and to-him indeed having-been-angry
ἐκεῖνος καὶ πρὸς ὀργὴν ἐξενεχθεὶς δίκην ἐπέθηκε τὴν
he and to wrath carried-away (as)-penalty imposed the
ἐκτομὴν τῆς ῥινός· αὐτὸς δὲ μηδὲ βραχύ τι γοῦν
cutting-off of-the nose himself and not-even little at-all at-any-rate
ἀναδύς, ἀλλ' ἐπιταχύνας ὡς εἶχεν, οὐ κατόπιν ἥκει
having-drawn-back but having-hastened as he-was not behind comes
καὶ οὕτω τῶν πολεμίων. ἀλλὰ καὶ ἄλλοτέ ποτε δι'
and thus the enemies but also at-other-time once through
Ἀνδρονίκου τοῦ Ἀγγέλου τοῖς Τούρκοις ἐπέθετο, κἂν οὐχ
Andronikos the Angelos the Turks he-attacked even-if not
ὡς ἄριστα καὶ τότε τὰ κατὰ τὸν πόλεμον αὐτῷ
as best also then the(-things) in the war for-him
ὑπηντίασε. τῷ γὰρ ἀνδρὶ τούτῳ τῶν ἑῴων ταγμάτων ὅ
turned-out to-the for man this of-the eastern units what
τί περ κράτιστον παραδούς, καὶ συνεκπέμψας αὐτῷ τὸν
— — strongest having-given and having-sent-with him —

Καντακουζηνὸν Μανουήλ, ἄνδρα περὶ τὰς πράξεις ἀγαθὸν
Kantakouzenos Manuel (a)-man in the deeds good
καὶ γενναῖον, καὶ ἑτέρους τῶν ἐπὶ δόξης Ῥωμαίων, κατὰ
and noble and others of-the in glory Romans against
τῶν ἐν τῷ Χάρακι Τούρκων ἀφίησι· κεῖται δὲ ὁ Χάραξ
the in — Charax Turks he-sends-off lies and — Charax
οὗτος μεταξὺ Λάμπης καὶ τοῦ τῆς Γραὸς Γάλακτος.
this between Lampe and — the Old-Woman's Milk
τὰς δυνάμεις τοίνυν ἀναλαβὼν Ἀνδρόνικος πρῶτα μὲν
the forces therefore having-taken-up Andronikos first indeed
εἰς τὸ τῆς Γραὸς παρεμβάλλει Γάλα, ἔπειτα δ' ἐκεῖσε
to — the Old-Woman's encamps Milk then and there
τὰ ὑποζύγια καὶ τὴν ἄλλην ἀποσκευὴν καταθέμενος
the beasts-of-burden and the other baggage having-deposited
ἄνεισιν ἐς νέωτα πρὸς τὸν Χάρακα, κούφως ὡπλισμένην
goes-up for the-morrow to — Charax lightly armed
ἔχων τὴν στρατιάν. οὐ γενναῖον δέ τι δράσας οὐδ'
having the army not noble and anything having-done nor
ἄξιον τοῦ τοσούτου στρατεύματος, ὃ τηνικαῦτα ἐπήγετο,
worthy of-the so-great army which then he-led
ἀλλὰ συμμετρήσας τὸ ἔργον βοσκημάτων ἁρπαγαῖς καὶ
but having-measured the deed of-cattle by-seizures and
ποιμνίταις ὀλίγοις Τούρκοις, περιδεὴς ἐκεῖθεν ἀπονοστεῖ.
shepherd few Turks terrified thence returns
ἐπιφανέντων γὰρ ἐκ τῶν ὄπισθεν νυκτὸς βαρβάρων
having-appeared for from the rear by-night barbarians
τινῶν καὶ βοησάντων, μὴ ἀναμείνας ἢ τὸ πλῆθος τῶν
some and having-shouted not having-waited either the multitude of-the
ἐπιόντων κατεξετάσαι ἢ τοὺς ὑπ' αὐτὸν εἰς μάχην
attackers to-examine or the(-men) under him into battle
καταστησάμενος, ἀνεὶς τὸν ὑπεκφέροντα ἵππον καὶ
having-set having-loosed the carrying-(him)-off horse both

χερσὶ καὶ ποσὶ καὶ φωνῇ πρὸς τὸ φέρεσθαι ὀξέως
with-hands and feet and voice to the to-be-borne swiftly
διήγειρεν, οὐ τὴν ἐς στρατήγιον φέρουσαν ὁδεύων ἀλλ'
he-roused not the(-road) to (the)-camp leading traveling but
εὐθὺ τῆς τῶν Χωνῶν ὡρμηκὼς πόλεως. ἰδὼν δὲ
straight-for the — of-Chonai having-rushed city having-seen and
τὸν ἵππον καὶ πορρωτέρω χωρεῖν ἔχοντα οὐδ' ἐκεῖσε
the horse also farther to-go being-able not-even there
τὸν δρόμον ἵστησιν, ἀλλ' ἐς τὴν ἐν Φρυγίᾳ Λαοδίκειαν
the course he-stops but to — in Phrygia Laodikeia
ὅλον συντείνει τὸ πρόθυμον. τὸ δὲ στράτευμα πρὸς τὴν
whole he-strains the eagerness the and army at the
ἀθρόαν τοῦ ἡγεμόνος ἀφάντωσιν ἐκταραχθὲν διαλύεται
sudden of-the commander vanishing thrown-into-confusion is-dissolved
τῆς συντάξεως καὶ σὺν οὐδενὶ κόσμῳ τρέπεται πρὸς
from-the formation and with no order turns to
φυγήν, τῶν θρεμμάτων καὶ τῶν αἰχμαλώτων ἀφέμενον.
flight the cattle and the captives having-let-go
τάχα δ' ἂν καὶ ἑαυτοῖς συμπεσόντες ἐμαχέσαντο
perhaps and — also with-themselves having-clashed would-have-fought
Ῥωμαῖοι νυκτὸς ἔτι οὔσης, εἰ μὴ ὁ Καντακουζηνὸς
(the)-Romans by-night still being if not — Kantakouzenos
Μανουὴλ ὡς ἐξ ἀντιπάλου συστὰς καὶ σπασάμενος
Manuel as from opposing(-side) having-stood-up and having-drawn
μάχαιραν ἔπαιε τῷ ταύτης πλατεῖ τοὺς δραπέτας,
(a)-sword struck with-the its flat the runaways
„στῆτε" λέγων· „οὐδένων ἐπικειμένων ποῖ φέρεσθε;" καὶ
stand saying nobody pressing where are-you-borne and
οὕτως ἔληξάν ποτε πρὸς μικρὸν τῆς ἀλόγου ἐκείνης
thus they-ceased at-last for (a)-little from-the irrational that
ἀπάρσεως καὶ τοῦ ὅλῳ ῥυτῆρι κατά τε πρανῶν κατά
departure and the with-whole rein down both slopes down

τε φαράγγων καὶ γηλόφων ἴεσθαι. πρὸς ἣν ἀκλεᾶ
both ravines and hillocks to-hasten at which inglorious
τοῦ Ἀνδρονίκου φυγὴν βαρυαλγήσας ὁ βασιλεὺς ἐγγὺς
— of-Andronikos flight having-been-grieved the emperor near
ἦλθε τοῦ διὰ τῶν ἀμφόδων τῆς πόλεως ἐκφαυλίσαι
came to-the through the streets of-the city to-disgrace
Ἀνδρόνικον γυναικείαν στολὴν περικείμενον. φιλοικεῖος δ'
Andronikos (a)-woman's robe wearing family-loving and
ὢν καὶ ἀεὶ ἐνδιδοὺς πρὸς τὸ αἷμα καθεῖλε τὸν χόλον,
being and always yielding to the blood he-put-down the wrath
καὶ ἄλλως μαθὼν ὡς βράχιστοι Ῥωμαίων ἐν τῷ
and otherwise having-learned that very-few of-(the)-Romans in the
πολέμῳ τούτῳ πεπτώκασιν. ἠρίστευσαν δὲ οὐδένες
war this have-fallen distinguished-themselves and none
κατὰ ταύτην τὴν ἔφοδον, οἷα τῆς ἐς τοὺς βαρβάρους
in this the attack as the to the barbarians
ἀνόδου γενομένης ὀξείας καὶ τῆς ἐς τοὐπίσω αὖθις ὀξυτέρας
ascent having-been swift and the to the-back again swifter
μεταχωρήσεως. Πέρσης δέ τις τηνικαῦτα τόπου ἀνάντους
withdrawal Persian and some then of-(a)-place steep
λαβόμενος κἀνταῦθα ὑφιζήσας πολλοὺς τῶν παριόντων
having-taken-hold and-there having-sat-down many of-the passing
Ῥωμαίων ἀνήρει, θανάσιμα πάντα καὶ κατάγοντα ἐς ᾅδου
Romans killed deadly all and leading-down to Hades
βέλεμνα πέμπων· διὰ γὰρ ἀσπίδος διήει καὶ θώρακος,
missiles sending through for shield it-went and breastplate
καὶ ἦσαν ἀμαιμάκετον κακόν. ἐπὶ τοῦτον πολλοὶ μὲν
and they-were (an)-irresistible evil against this(-man) many indeed
ὅσοι ἀρετῆς ἀντεποιοῦντο ἐπισυνέστησαν, καὶ ἀγχοτάτω
as-many-as to-virtue laid-claim stood-together and nearest
παραγενόμενοι ἔβαλλον βέλεσι καὶ ἔπειρον δόρασι, θυμῷ
having-come shot with-missiles and pierced with-spears with-anger

πολλῷ χρώμενοι. ὁ δὲ πυρριχίζων ἄντικρυς ἐξωρχεῖτο
much using he and dancing-the-war-dance outright danced-off
πάντα τὰ ἐς αὐτὸν φερόμενα βλήματα καὶ στροφάδην
all the at him borne missiles and whirling
τοὺς ὑπαντιάζοντας ἔκτεινεν, ἕως ὁ Ξηρὸς Μανουὴλ
the(-ones) meeting(-him) killed until — Xeros Manuel
ἀπὸ τοῦ ἵππου κατεπήδησε καὶ τὴν ἀσπίδα προβεβλημένος
from the horse leapt-down and the shield having-put-forward
ξιφήρης τὴν χεῖρα τῷ Πέρσῃ ἐπῆλθε, τὰ βέλη πάντα
sword-armed in-the hand at-the Persian came the missiles all
τῷ σάκει δεχόμενος, καὶ κατὰ κεφαλῆς καιρίαν
with-the shield receiving and on (the)-head (a)-mortal(-blow)
ἔπληξε, καὶ ἀνῄρηκεν. οὕτω δὲ τὸν Ξηρὸν ἀπέχοντα εὗρεν
struck and has-killed thus and — Xeros far found
ὁ Πέρσης τοῦ ἐκεῖνον ἀπεκτονέναι καὶ πρὸς τὴν αὐτοῦ
the Persian from-the him to-have-killed and to the his
περὶ τοῦ μὴ θανεῖν δέησιν ἀκαμπῆ καὶ σκληρὸν ἀληθῶς καὶ
about the not to-die entreaty unbending and hard truly and
ἀνένδοτον, ὡς καὶ δευτέραν πληγὴν ἐπὶ τῇ προτέρᾳ
unyielding so-that also (a)-second blow on-top-of the first
λαβεῖν οἷς καὶ παρακαίρια ἔβαζε, φιλανθρώπων τυχεῖν
to-receive at-which also untimely(-things) he-prattled humane(-things) to-obtain
δεόμενος ὢν αὐτὸς κακὸν ὀλέθριον ἦν.
begging to-whom himself (an)-evil deadly was
Τότε καὶ ἐμὸς συγγενής, τῷ κλήρῳ μὲν τῆς πόλεως
then also my kinsman among-the clergy indeed of-the city
κατειλεγμένος Χωνῶν, Λευίτης τὴν τάξιν, λήματος δ’
enrolled of-Chonai (a)-Levite in-the rank of-spirit and
ἀνδρείου πλήρης, συνανελθὼν τῷ λοιπῷ στρατεύματι
manly full having-gone-up-with the rest army
ἐς τὸν Χάρακα μετὰ σκευῆς πολεμικῆς, καὶ σκυλεύσας
to — Charax with gear war-like and having-plundered

εἴ τί που ἐφεῦρεν ἡ χεὶρ ἐν τοῖς τῶν Τούρκων
if anything somewhere found the hand in the of-the Turks
σκηνώμασιν, οὐκ ἀπεφορτίσατο κατ᾽ αὐτὸ τὸ δεινὸν τὰ
tents not unloaded in very the terror the
λάφυρα, ἀλλὰ ταῦτα φέρων, ἃ καὶ ἦσαν στολαὶ
spoils but these(-things) carrying which also were robes
Περσικαὶ πήρας ἐντὸς καὶ ὄϊς πηγεσίμαλλος, βάδην
Persian (a)-wallet within and (a)-sheep thick-fleeced at-a-walk
ἐπορεύετο, ἐπιστρέφων τὰς ἁπάντων ὄψεις εἰς ἑαυτόν,
went turning the of-all eyes toward himself
καὶ ὑπὸ μὲν τῶν ὡς ἀδεὴς ἐν τοῖς περιστατικοῖς καιροῖς
and by indeed some as fearless in the critical moments
εὐφημούμενος καὶ κορυφαῖος κρινόμενος ἄντικρυς τῶν
praised and chief judged outright of-the(-ones)
κατ᾽ ἐκεῖνο στρατευσάντων καιροῦ, ὑπὸ δὲ τῶν τωθαζόμενος
at that having-campaigned time by and others jeered
ὡς προβατίου ἀρνύμενος θάνατον. αὐτὸς μέντοι καὶ οὕτω
as for-(a)-little-sheep incurring death himself however also thus
τὴν ὁδὸν ἤνυεν, ὅπῃ παρείκοι, τοὺς δραπέτας βάλλων
the road completed where it-allowed the runaways pelting
ὀνείδεσιν ὡς μηδενὸς διώκοντος ἀγεννῶς ἀπαίροντας.
with-reproaches as nobody pursuing ignobly departing
Οὐ πολλῷ δὲ ὕστερον χρόνῳ τὴν ἐκ Κλαυδίου Καίσαρος
not much and later in-time the from Claudius Caesar
παρώνυμον πόλιν οἱ Τοῦρκοι περικαθίσαντες πρῶτα μὲν
named city the Turks having-surrounded first indeed
οὐδὲ προελθεῖν ὅλως εἴων τοὺς ἀποτεταγμένους εἰς τὴν
not-even to-come-forth at-all allowed the assigned for the
ταύτης φρουρὰν Ῥωμαίους, ἔπειτα δὲ καὶ πολιορκεῖν
its garrison Romans then and also to-besiege
ἐπεβάλοντο, ὅθεν οἱ ἔσωθεν, εἰ μή τις αὐτοῖς
undertook whence the(-men) inside if not anyone them

ἐπαρήξειεν ἔξωθεν, σφᾶς τε αὐτοὺς καὶ τὴν πόλιν
should-help from-outside them both selves and the city
καταπροδώσειν ἠπείλουν, ὡς μὴ χρόνια λιμώττειν στέγοντες
would-betray threatened as not long to-starve enduring
ἔτι, καὶ τοὺς πολεμίους ἀποτρέψασθαι ὅλως οὐκ ἔχοντες.
still also the enemies to-turn-away at-all not being-able
μὴ ἀναμείνας οὖν τὴν τελείαν τοῦ κακοῦ ἀγγελίαν ὁ
not having-waited then the complete of-the evil message —
Μανουήλ, ἀναστὰς τὴν ὑστεραίαν, ᾗ τάχους εἶχεν, ἐπὶ
Manuel having-risen the next(-day) with-what speed he-had to
τὴν Κλαυδίου διὰ τῆς Νικομήδους ἤλαυνε, μὴ αὐλαίαν
— Claudius(-city) through the(-land) of-Nikomedes drove not curtain
ἀνακτορικήν, μὴ κλίνην, μὴ στιβάδα μήτε τινὰ ἄλλην σκευὴν
imperial not bed not mattress nor any other gear
τρυφῶσαν ἀρχικὴν ἐπαγόμενος, μόνα δὲ τὰ ἱππάσιμα
luxurious princely bringing only and the(-horses) for-riding
φέρων καὶ στολὰς φολίσι σιδηραῖς ὑφαντάς. ἐπέτεινεν οὖν
carrying and robes with-scales iron woven he-lengthened then
τοὺς σταθμούς. τοσοῦτον δ' ἦν ἐκείνῳ τὸ πρόθυμον φθάσαι
the stages so-great and was for-him the eagerness to-anticipate
τοὺς πολιορκοῦντας ποθοῦντι πρὸ τοῦ παθεῖν τι τοὺς
the besiegers longing before the to-suffer anything the(-men)
ἔνδον δεινόν, ὁποῖον οὐκ ἔστι λόγῳ περιηγήσασθαι.
inside terrible such-as not is(-possible) in-word to-describe
οὐκοῦν τὰς νύκτας ἴαυεν ἀΰπνους καὶ πρὸς τὴν πορείαν
therefore the nights he-passed sleepless and for the march
ἐχρᾶτο φωτὶ ποιητῷ βαδίζων διὰ τῆς Βιθυνῶν· ἡ δὲ
used light made walking through the of-Bithynians it and
ὡς ἐπίπαν ταῖς ξυναγκείαις πεπύκνωται, καὶ ἄπορός ἐστι
as wholly with-the thickets is-packed and impassable is
πολλαχῇ τῷ τῆς ὕλης συνηρεφεῖ. εἰ δέ που καὶ χρείας
in-many-places by-the of-the wood overshadowing if and somewhere also of-need

ἱκανούσης ἐδεῖτο διαναπαύεσθαι, γήϊνον εἶχε τὴν καθέδραν,
sufficient he-needed to-rest earthen he-had the seat
καὶ κάρφη ὑποβεβλημένη καὶ φορυτὸς ὑποκείμενος ἐκείνῳ
and stalks spread-under and litter lying-under for-him
τὴν στρωμνὴν ἐσχεδίαζεν. ὁτὲ δὲ ὑετοῦ κατενεχθέντος καὶ
the bedding improvised once and rain having-come-down and
τοῦ σταθμοῦ γενομένου κατὰ φάραγγα τεναγώδη ἄνωθέν
the camp having-been-made in (a)-ravine marshy from-above
τε ταῖς σταγόσιν ἐτέγγετο καὶ τὸν ὕπνον διεσπᾶτο
both with-the drops he-was-soaked and the sleep was-broken
τῷ τὴν στιβάδα ὑποτρέχοντι νάματι. κἀπὶ τοῖς τοιούτοις
by-the the mattress running-under stream and-at the such(-things)
ἠγαπᾶτο μᾶλλον καὶ ἠγᾶτο ἢ ὅτε διαδήματι ἐταινιοῦτο
he-was-loved more and admired than when with-(a)-diadem he-was-crowned
καὶ περιέκειτο τὴν ἁλουργίδα καὶ τὸν ἵππον ἀνέβαινε τὸν
and wore the purple and the horse mounted the
χρυσοφάλαρον. ὡς δὲ ἤγγισεν οὗ ἐπορεύετο καὶ ὤπτο
gold-trapped as and he-drew-near where he-was-going and was-seen
τοῖς περὶ τὴν Κλαυδιούπολιν ἐσκηνωκόσι βαρβάροις, οἱ
by-the about — Klaudioupolis encamped barbarians they
μὲν ἐς φυγὴν ἐκεῖθεν αὐτίκα ὥρμησαν, ἐγνωκότες τὴν
indeed to flight thence at-once rushed having-recognized the
αὐτοῦ ἔλευσιν ἔκ τε τῶν σημείων τῶν ταγμάτων καὶ
his coming from both the signs of-the units and
